Ἀπὸ Χριστοῦ ,αυϟθ' ἤτοι 1499 ἁλώθη ἡ Ναύπακτος, ἣν εἶχον οἱ Βενετοὶ παρά τινος Παύλου Σπάτα καὶ πάλιν εἰς τοὺς 1686 τὴν ἀνέλαβον οἱ Βενετοὶ καὶ πάλιν τὴν ἀπένειμαν εἰς τοὺς Τούρκους ἐν ἔτει 1701.

Τῷ αὐτῷ ἔτει Σεπτεμβρίου ιζ' ἐπροσκύνησαν οἱ Κορωναῖοι καὶ ἐπαρέδωκαν τὸ κάστρον τῆς Κορώνης τοῦ Μορέως.

Ἀπὸ Χριστοῦ ,αφκβ' = 1522 ἐπῆραν τὴν Ῥόδον.

Ἀπὸ Χριστοῦ ,αφμ' ἤτοι 1540 Νοεμβρίου 21 ἡμέρα Κυριακὴ ἐπῆραν τὸ Ἀνάπλι τοῦ Μορέως παρὰ τῶν Βενέτων.

Τῷ αὐτῷ ἔτει Νοεμβρίου κδ΄ ἔλαβον καὶ τὴν Μονεμβασίαν.

Ἀπὸ Χριστοῦ ,αψο΄ ἔγινεν ἡ αἰχμαλωσία τοῦ Μεσολογγίου καὶ Ἀνατολικοῦ καὶ ἄλλων πολλῶν μερῶν ὑπὸ τῶν Τούρκων.

Εἰς τὸν ἴδιον καιρὸν τὸ ἥμισυ τῶν Τρικκάλων πυρὶ κατέκαυσαν καὶ εἰς τὴν Λάρισσαν τὴν ἐκκλησίαν τοῦ Ἁγίου Ἀχιλλείου κατηδάφισαν, ἣν ὕστερον ὁ Λαρίσσης Διονύσιος, νῦν δὲ Ἐφέσου ἀνεκαίνισεν ἐκ βάθρων.

23 κῶδ.: ἔκαμεν.

## 3

Κῶδ. Lincoln Gr. 10 Ὀξωνίου ιστ΄ ,καὶ ιζ΄ αἰῶνος Ἀπὸ φύλλ. 171α τὸ ἑξῆς χρονικὸν

Ἐν ἔτει ,εψϟθ$^{\varphi}$ (;) μηνὶ Μαΐου ἐκτίσθη ἡ Κωνσταντινούπολις. Ἐβασίλευον δὲ οἱ Χριστιανοὶ χρόνους ἐννακοσίους ἑβδομήκοντα καὶ πέντε καὶ εἰς τοὺς ,στψια΄ ἐπῆραν αὐτὴν οἱ Λατῖνοι εἰς τὴν ἡμέραν βασιλέως Μουρτζούφλου καὶ αὐθέντευεν αὐτὴν χρόνους νθ΄.

|φ. 171 β.| Ἐν ἔτει ,στψοθ$^{\varphi}$ βασιλεύοντος κὺρ Μανουὴλ τοῦ Παλαιολόγου ἐχαρίσατο πάλιν αὐτῷ τὴν βασιλείαν τῆς Πόλεως, ὅθεν καὶ πυρίκαυστοι γεγόνασιν οἱ Λατῖνοι παρὰ Στρατηγόπολιν (;)· ἐβασίλευον χρόνους ϙστ΄ καὶ πάλιν ἐσέβηκαν αὐτοὶ οἱ τῆς Ἄγαρ καὶ ἐπῆραν αὐτὴν ἐκ τῶν χειρῶν Κωνσταντίνου δεσπότου, ἀστέπτου ὄντος, ὁ σουλτὰν Μεϊμέτης ἐν ἔτει ,στϡξα$^{\omega}$ Μαΐω κθ΄.

*Ἱστορία τῶν κρατούντων τὴν Κωνσταντινούπολιν*

Πρῶτον ὁ αὐθέντης ὁποῦ ἀπέρασεν εἰς τὴν Δύσιν ἦτον ὁ Ἀτουμάνογλης καὶ αὐθέντεψε χρόνους κα΄, μετὰ δὲ τοῦτον αὐθέντεψεν ὁ Ἀρκάνης χρόνους μ΄.

Μετὰ τοῦτον ὁ καζὴ Ἀμουράτης χρόνους λ΄.

Μετὰ τοῦτον ὁ Ἰλντιζὴμ Μπαγιαζίτης χρόνους ιδ΄.

Μετὰ τοῦτον ὁ Μουσήλτζεπης χρόνους η΄.

Μετὰ τοῦτον ὁ κελεπῆς Μηρσουλεϊμάνης χρόνους γ΄.

|φ. 172 α.| Μετὰ τοῦτον ὁ σουλτὰν Ἀμουράτμπεης χρόνους λα΄.

Μετὰ τοῦτον ὁ σουλτὰν Μεεμέτμπεης χρόνους λα΄.

Ἐν ἔτει ,ζκ$^{\omega}$ μηνὶ Μαΐῳ ἔγινεν ὁ σουλτὰν Σελήμης αὐθέντης ζῶντος τοῦ πατρὸς αὐτοῦ σουλτὰν Μπαγιαζίτη·

Τὰ σεφέρια ἅπερ ἔκαμεν ὁ σουλτὰν Μεεμέτης. Αὐθέντεψε χρόνους κ΄· ἔκαμεν σεφέρι εἰς τὴν Καραμανίαν ἐν ἔτει ,στϡνη$^{\omega}$ καὶ εἰς τὸ ,στϡνθ$^{ov}$ ἐπῆγεν εἰς τὸ στενὸν τῆς Πόλεως καὶ ἔκτισεν τὸ Νεόκαστρον. Καὶ εἰς τοὺς ,στϡξα΄ ἐπῆρε τὴν Κωνσταντινούπολιν Μαΐου κθ$^{\eta}$. Καὶ εἰς τοὺς ,στϡξβ΄ ἐπῆγε τὸν χειμῶνα εἰς τὴν Αἶνον, τὸ δὲ καλοκαίρι εἰς τὴν Σεμέντριαν. Εἰς τοὺς ,στϡξγ΄ ἐπῆγε εἰς τὸ Ἀμπελογράδι καὶ οὐκ ἔλαβεν αὐτό· καὶ εἰς τοὺς ,στϡξδ΄ ἐπῆρε τὸν Μορέαν καὶ τὴν Ἀθήνα. Εἰς τοὺς ,στϡξε΄ ἐπῆγε εἰς τὸ Ἀγ . . (;) καὶ δὲν τὸ ἐπῆρεν. Καὶ εἰς τοὺς ,στϡξστ΄ ἐπῆγεν εἰς τὸν Μορέαν καὶ τὸν

ἀφάνισεν. |φ. 172 β.| Εἰς τοὺς ,στϡξζ΄ ἐπῆγε πάλιν εἰς τὸ Ἀγ . . . (;) καὶ οὐκ ἔλαβεν αὐτό. Εἰς τοὺς ,στϡξη΄ ἐπῆρε τὴν Ἄμαστρον καὶ τὸ Σινώπι. Καὶ τὸ αὐτὸ ἔτος ἐπῆρε τὴν Θεσσαλονίκην ὁ σουλτὰν Ἀμουράτης. Εἰς τοὺς ,στϡξθ΄ ἐπῆγε εἰς τὸν Οὔζοῦν Χασάνη. Εἰς τὸ γύρισμα ἐπῆρεν τὴν Τραπεζόνταν. Εἰς τοὺς ,στϡο΄ ἐπῆγε εἰς τὸν Αὔγουλὶ βοηβόντα, καὶ τὸ αὐτὸ ἔτος ἐπῆρε τὴν Μυτιλήνην. Εἰς τοὺς ,στϡοα΄ ἐπῆγε εἰς τὴν Μπόζνιαν καὶ ἐπῆρε την.

Εἰς τοὺς ,στϡοβ΄ ἐπῆγε εἰς τὴν Ἀρβανιτίαν.

Εἰς τοὺς ,στϡογ΄ ἐπῆγε εἰς τὴν Καραμανίαν. Καὶ εἰς τοὺς ,στϡοζ΄ ἐπῆρε τὴν Εὔριπον Ἰουλίου ιε΄.

Εἰς τοὺς ,στϡπβ΄ ἐπῆγεν εἰς τὸν Ὀζοῦν Χασάνη.

Εἰς τοὺς ,στϡπγ΄ ἐπῆρε τὸν Καφᾶ.

Εἰς τοὺς ,στϡπδ΄ ἐπῆγεν εἰς τὸν Μπούγδανον καὶ ἐπῆρε τὰ κάστρα ὁποῦ ἔκτισαν οἱ Οὔγκροι.

|φ. 173 α.| Εἰς τοὺς ,στϡπστ΄ ἐπῆγεν εἰς τὸ Σκούταρι καὶ δὲν τὸ ἐπῆρεν. Ὕστερον ἐπροσκύνησεν.

Εἰς τοὺς ,στϡπγ΄ Μαΐῳ γ^η ἀπέθανεν ὁ σουλτὰν Μεεμέτης καὶ τὸ αὐτὸ ἔτος ἐβασίλευσεν ὁ σουλτὰν Μπαγιαζίτης.

Τὰ σεφέρια ἅπερ ἔκαμεν ὁ αὐτὸς αὐθέντης.

Ἐν ἔτει ,στϡϟβ΄ Ἰουλίου ιδ^η ἐπῆγε εἰς τὸν Μπούγδανον καὶ ἐπῆρε τὸ Κελλί. Καὶ εἰς τὰς β΄ τοῦ αὐτοῦ ἐπῆρε τὸ Ἀσπρόκαστρον. Εἰς τοὺς ,ζζ΄ ἐπῆρε τὸν Ἔπακτον. Εἰς τοὺς ,ζη΄ ἐπῆρε τὴν Μοθοκορώνην καὶ τὸν Ἀναβαρῖνον.

Ἐν ἔτει ,ζκ΄ ἔγινεν ὁ σουλτὰν Σελήμης αὐθέντης ζῶντος τοῦ πατρὸς αὐτοῦ σουλτὰν Μπαγιαζίτη.

Εἰς τοὺς ,ζκβ΄ ἐπολέμησεν ὁ σουλτὰν Σελήμης τὸν Σοφί· καὶ ἐπῆρεν ἀπὸ τὸν τόπον του. Τὸ αὐτὸ ἔτος μηνὶ Νοεμβρίῳ |φ. 173, β| ἐπολέμησε μετὰ τοῦ Ἀνατοβλᾶ· καὶ ἐπῆρε του ἕνα κάστρο, τὸ Κιαμάχ. Εἰς τοὺς ,ζκδ΄ ἐπῆγε εἰς τὸ Μισύρι καὶ ἐπῆρε το. Ἐν ἔτει ,ζκθ^ῳ ἀπέθανεν ὁ σουλτὰν Σελήμης καὶ ἔγινεν αὐθέντης ὁ σουλτὰν Σουλεϊμάνης. Τὸν αὐτὸν χρόνον ἐπῆγε εἰς τὸ Ἀμπελογράδι καὶ ἐπῆρε το. Ἐν ἔτει ,ζλ΄ Δεκεμβρίῳ κβ΄ ἐδιέβη ὁ σουλτὰν Σουλεϊμάνης εἰς τὴν Ρόδον διὰ θαλάσσης μὲ ἄρμενα τ΄ καὶ ἐπῆρε την.

Ἐν ἔτει ,ζλβ΄ ἐδιέβη εἰς τὸ Μπέκι καὶ δὲν τὸ ἐπῆρε. Εἰς τοὺς ,ζλστ΄ ἐπῆγε εἰς τὸ Μπούντη καὶ ἐπῆρε το. Εἰς τοὺς ,ζμδ΄ ἐπῆγε εἰς τὸν Αὐλῶνα μὲ ἄρμενα διὰ θαλάσσης καὶ ἀφάνισεν πολλὰ χωρία εἰς τοὺς Κορφούς.

Ἐν ἔτει ,ζμστ΄ Ὀκτωβρίου κδ^η ἀναλώθη ἡ Αἴγενα ὑπὸ τοῦ Χαρατοῦ μπασιὰ καὶ |φ. 174 α| ᾐχμαλωτίσθησαν ψυχαὶ ,δψη΄.

Ἐν ἔτει ,ζμθ΄ Νοεμβρίῳ κα^η ἡμέρα Κυριακὴ ἐπαράδωσεν τὸ Ἀνάπλι ἡ αὐθεντία τῶν Βενετῶν τοῦ αὐθέντη τοῦ Κασουμπασά.

Εἰς τοὺς ,ζμθ΄ Ἰουλίου στ΄ ἐδιέβη ὁ σουλτὰν Σουλεϊμάνης εἰς τὸ Μουντοῦνι καὶ ἐπολέμησε μὲ τὸν Κράλη καὶ ἐνίκησεν.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Εἰς τοὺς ,ζνα΄ ἐδιέβη εἰς τὸ Μπέκι καὶ δὲν τὸ ἐπῆρε. Εἰς τοὺς ,ζνστ΄ ἐδιέβη ὁ σουλτὰν Σουλεϊμάνης εἰς τὸν Γυιζιλμπάσι καὶ ἐξεχείμασεν ἐκεῖ καὶ τὸν δεύτερον χρόνον ἐγύρισεν.

Εἰς τοὺς ,ζξβ΄ Σεπτεβρίου ιβ΄ εὐγῆκεν ὁ σουλτὰν Σουλεϊμάνης καὶ ἐδιέβη εἰς τὸν Κιζιλμπάσι καὶ ἐξεχείμασεν ἐκεῖ χρόνους β΄ καὶ ἐπροσκύνησεν ὁ Κιζιλμπάσις καὶ ἐχάρισέ του ἀπὸ τὸν τόπον του καὶ τὸν γ$^{ον}$ χρόνον ἐγύρισεν.

|φ. 174 β.| Εἰς τοὺς ,ζογ΄ εὐγῆκεν ἡ ἀρμάδα μηνὶ Ἀπριλίῳ μὲ τὸν Ἀληπασιὰ καὶ ὑπῆγαν εἰς τὴν Μάλταν καὶ δὲν τὴν ἐπῆραν. Εἰς τοὺς ,ζοδ΄ μηνὶ Μαΐῳ ὁ σουλτὰν Σουλεϊμάνης ἐδιέβη εἰς τὸ Μπέκι. Εἰς τοὺς ζοε΄ μηνὶ Σεπτεβρίου ἀπέθανε ὁ σουλτὰν Σουλεϊμάνης καὶ ἔγινεν αὐθέντης ὁ σουλτὰν Σελήμης.

71 κῶδ.: δὲν τὸ ἐπῆραν.

## 4

Κῶδ. Ambros. g 69 sup. φ. 345 β

† Ἀπριλίου θ$^{η}$ ἰνδικτιῶνος ζ$^{ης}$, τοῦ ,στψιβ$^{ου}$ ἔτους κατὰ τὸν Χωνιάτην ἑάλω ἡ Κωνσταντινούπολις ὑπὸ τῶν Λατίνων.

† Νοεμβρίου δ$^{η}$ ἰνδικτιῶνος γ$^{ης}$ τοῦ ,στψξγ$^{ου}$ ἔτους ἐκοιμήθη ὁ εὐσεβέστατος καὶ ἅγιος βασιλεὺς Ἰωάννης ὁ Δούκας καὶ ἐτάφη ἐν τῷ παρ᾽ αὐτοῦ δομηθέντι ναῷ καὶ ἐπονομασθέντι παρ᾽ αὐτοῦ Σώσανδρα, παρακειμένῳ τῇ ἐν Σιπύλῳ Μαγνησίᾳ τῇ Ἀνηλίῳ καλουμένῃ.

† Δεκεμβρίου ιη$^{η}$, ,αυμστ$^{ου}$ ἀπὸ τῆς Χριστοῦ τοῦ Θεοῦ ἡμῶν γεννήσεως ἑάλω τὸ Ἑξαμίλι ὅπερ ἀνέστησεν ὁ δεσπότης κὺρ Κωνσταντῖνος.

† ,αυμδ$^{ου}$ ἐστράτευσαν οἱ Οὔγγροι κατὰ τοῦ ἀμηρᾶ καὶ ὁ ῥὴξ αὐτός· ὅς καὶ ἑάλω ἢ μᾶλλον πεφόνευται ἐν τῷ πολέμῳ τῷ κατὰ τὴν Βάρναν.

† ,αυμη$^{ου}$ ἐπέρασεν αὖθις ὁ Ἰάγγος μετὰ τῶν Βλάχων καὶ ἡττήθησαν ὑπὸ τῶν Τούρκων καὶ ὁ Ἰάγγος ἀπέδρα.

(ἕπονται μελαντέρᾳ γραφῇ)

| | | |
|---|---|---|
| † Ἀπὸ Ἀδὰμ μέχρι γεννήσεως τοῦ Χριστοῦ | ἔτη | ,εφ΄ |
| † Ἀπὸ γεννήσεως μέχρι βαπτίσεως ἐν τῳ Ἰορδάνῃ | ἔτη | λ΄ |
| † Ἀπὸ βαπτίσεως μέχρι ἀναστάσεως | ἔτη | γ΄ |
| † Ἀπὸ τῆς ἀναστάσεως Χριστοῦ μέχρι τῆς α$^{ης}$ συνόδου | ἔτη | σπε΄ |
| † Ἀπὸ α$^{ης}$ συνόδου μέχρι τῆς β$^{ας}$ | ἔτη | νστ΄ |
| † Ἀπὸ τῆς β$^{ας}$ μέχρι τῆς γ$^{ης}$ | ἔτη | μα΄ |
| † Ἀπὸ τῆς γ$^{ης}$ ἕως τῆς δ$^{ης}$ | ἔτη | λ΄ |
| † Ἀπὸ τῆς δ$^{ης}$ ἕως τῆς ε$^{ης}$ | ἔτη | ρβ΄ |
| † Ἀπὸ τῆς ε$^{ης}$ ἕως τῆς στ$^{ης}$ | ἔτη | ρκθ΄ |
| † Ἀπὸ τῆς στ$^{ης}$ ἕως τῆς ζ$^{ης}$ | ἔτη | ρκ΄ |

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

| | | |
|---|---|---|
| † Ἀπὸ τῆς ζ$^{ης}$ μέχρι ἁλώσεως ὑπὸ τῶν Λατίνων Κ/λεως | ἔτη | υιγ´ |
| † Ἐκρατεῖτο ἡ Πόλις ὑπὸ Λατίνων | ἔτη | νστ´ |
| † Εἶτα ἦρξαν καὶ οἱ Παλαιολόγοι | ἔτη | ρϟστ´ |
| | | ,στϡξα´ |

† Κατὰ τὸ αὐτὸ ἔτος ⟨ἤτοι ,ζα´$^{ον}$⟩ ἔλαβεν ὁ Ἀτουμάνος τὴν Κωνσταντινούπολιν μηνὶ Μαΐῳ κθ$^{η}$ ἰνδικτιῶνος α$^{ης}$ ἡμέρα Τρίτη.

## 5

Κῶδ. Hist. Gr. LXXX Βιέννης φύλλ. 15 α τὸν ιστ´ αἰῶνα γεγραμμένος (1535 μ. Χ.).

α$^{ος}$ Ἡ τῶν Ὀτουμανίδων ἤτοι Τούρκων βασιλεία ἤρξατο ἐν ἔτει τῷ ἀπὸ τῆς ἐνσάρκου οἰκονομίας τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ χιλιοστῷ τριακοσιοστῷ. Καὶ πρῶτος μὲν Ὀτουμάνος τὸ γένος Σκύθης ἤρξατο βασιλεύειν ἐν τῷ εἰρημένῳ ἔτει· ὃς πρῶτος ἀφείλατο τῶν Χριστιανῶν τὴν Βιθυνίαν καὶ Καππαδοκίαν καὶ Ἀσίαν.

β$^{ος}$ Δεύτερος δὲ τούτων Ἀμουράτης ἦν, ὃς ἤρξατο ἐν ἔτει χιλιοστῷ τριακοσιοστῷ τεσσαρακοστῷ ἕκτῳ καὶ πρῶτος διαβὰς εἰς Θράκην ἔλαβε τὴν [ἐφ'] Ἑλλησπόντῳ Καλλιούπολιν.

γ$^{ος}$. Μετὰ δὲ τοῦτον τρίτος Μπαϊαζήτης βασιλεύσας ἔτει χιλιοστῷ τριακοσιοστῷ ὀγδοηκοστῷ ἕκτῳ. Ἐκυρίευσε Θετταλίας καὶ Μυσίας καὶ μέρους τῆς Ἑλλάδος καὶ Αὐλῶνος ἐν τῷ Ἰλλυρικῷ.

δ$^{ος}$. Τέταρτος δὲ Χαλεπῖνος βασιλεὺς ἤρξατο ἐν ἔτει χιλιοστῷ τριακοσιοστῷ ἐννενηκοστῷ τετάρτῳ· ἐκυρίευσε δὲ μοίρας οὐκ ὀλίγης Τριβαλλῶν καὶ ἐν Νικοπόλει τὸν αὐτοκράτορα ἐτρέψατο μάχῃ Σιγισμοῦνδον.

ε$^{ος}$. Πρὸς τούτοις δὲ πέμπτος βασιλεὺς Τούρκων Μουσῆς γέγονεν ἐν ἔτει χιλιοστῷ τετρακοσιοστῷ, ὅς τὸν Ὀρχάνην ἀπέσφαξε, τὴν ἀρχὴν ἀφείλατο· τέθνηκε καὶ αὐτός.

στ$^{ος}$. Ὁ δ' ἕκτος βασιλεὺς τοῦ Ὀτουμανιδῶν γένους Μαχουμέτης ἤρξατο ἐν ἔτει χιλιοστῷ τετρακοσιοστῷ εἰκοστῷ, ὃς τὴν Θεσσαλονίκην εἴληφε καὶ τὰς ἐν τῇ Ἠπείρῳ καὶ Αἰτωλίᾳ πόλεις καὶ μέρος Σερβίας.

ζ$^{ος}$. Ὁ δ' ἕβδομος Ἀμουράτης βασιλεὺς Τούρκων ἤρξατο ἐν ἔτει χιλιοστῷ τετρακοσιοστῷ εἰκοστῷ δευτέρῳ· ἐκυρίευσε δὲ τὴν κάτω καλουμένην Βλαχίαν καὶ μέρος Δαλματίας.

η$^{ος}$. Ὁ δὲ ὄγδοος Μωάμεθ ἤρξατο βασιλεύειν ἐν τῷ χιλιοστῷ τετρακοσιοστῷ τεσσαρακοστῷ δευτέρῳ ἔτει καὶ τῷ χιλιοστῷ τετρακοσιοστῷ πεντηκοστῷ πρώτῳ ἔτει ἐγκρατὴς γέγονεν Κωνσταντινουπόλεως καὶ Πελοποννήσου καὶ Τραπεζοῦντος καὶ Εὐβοίας καὶ Ὑδροῦντος ἐν τῇ Ἀπουλίᾳ.

θ$^{ος}$. Μπαϊαζήτης δὲ βασιλεὺς ἔνατος Τούρκων ἤρξατο ἔτει χιλιοστῷ τετρακοσιοστῷ ὀγδοηκοστῷ πρώτῳ· οὗτος τὸν ἀδελφὸν ἐστέρησε τῆς ἀρχῆς, εἴληφε δὲ τὴν ἐν Πελο-

ποννήσῳ Κορώνην καὶ Μεθώνην, τὴν τε Ἰλλυρικὴν καὶ Μυσίαν καὶ τὰ μέχρι Ἀκυληΐας καὶ Ταρβησίου χωρία ἐπέδραμεν.

ιος. Δέκατος δὲ βασιλεὺς Τούρκων Σελήμης ἤρξατο βασιλεύειν τῷ χιλιοστῷ πεντακοσιοστῷ δωδεκάτῳ ἔτει, ζῶντος δ' ἔτι τοῦ πατρὸς αὐτοῦ τῆς βασιλείας ἐκράτησε· εἴληφε δ' Αἴγυπτον καὶ πᾶσαν Συρίαν.

ιαος. Ὁ δὲ ἑνδέκατος βασιλεὺς Ὀτουμανίδων Σουλεημὰν ἤρξατο ἐν ἔτει χιλιοστῷ πεντακοσιοστῷ ἐννεακαιδεκάτῳ, ἀφείλετο δὲ τὸ Βελόγραδον, τήν τε Ῥόδον καὶ τὸ πλεῖστον Παιονίας, ἐπέδραμε δὲ μέχρι Οὐϊέννης πόλεως ἐν Γερμανίᾳ, τὰ νῦν δ' ἐν Πέρσαις δεύτερον ἤδη χρόνον διάγει.

(Ἐκ τοῦ αὐτοῦ κώδικος φύλλ. 15 β.)

Ἐν τῷ λεωφόρῳ τῆς Κωνσταντινουπόλεως τὰ νῦν καλουμένῳ Κόκκινο Λιθάρι ἐν τῷ αὐτῷ κίονι ἔχουσα (;) τὰ γράμματα ταῦτα:

Τὸ παρὸν κιόνι, τεθὲν προχρονίως
ἀνακαινισθεὶη δὲ παρὰ Μιχαὴλ Παλαιολόγου τοῦ αὐτοκράτορος.

---

33 κωδ.: Σουλαημάν.

## 6

Κωδ. τῆς μονῆς Ἰβήρων 290 φ. 392 β

† Τοῦ ,ϛϡγ' ἦλθον ἀπὸ τὴν Βενετίαν μηνὶ Ἀπριλίῳ ιζ'· ἐγένετο καὶ ἡ μάχη ἡ μεγάλη.

† Τοῦ ϛϡι' ἐκατελύθη ὁ Ἀμηρᾶς ὁ Παγιαζήτης παρὰ Τιμούρ (;) ἰνδικτιῶνος ι' μηνὶ Ἰουλίῳ κη'.

† Τοῦ ,ϛϡκϛ' ἰνδ. ια' ἐκοιμήθη ὁ ἡγούμενος τοῦ Στουδίου κὺρ Ἰγνάτιος ἱερομόναχος μηνὶ Δεκεβρίῳ κδ'.

† Τοῦ ,ϛϡλα' ἐγένετον μητροπολίτης ὁ Τραπεζοῦντος μηνὶ Νοεμβρίῳ ιγ' ἰνδ. α'.

† Τοῦ ,ϛϡλ' ἐπολέμησε ὁ Ἀμουράτης τὴν Πόλιν πόλεμον μεγάλον μηνὶ Αὐγούστῳ κδ.'

† Τοῦ ,ϛϡλε' ἰνδ. ε' ἦλθεν ἡ δέσποινα ἡ κερὰ Μαρία ἀπὲ τὴν Τραπεζοῦντα Μηνὶ αὐγούστῳ λ'.

† Τοῦ ,ϛϡμϛ' ἰνδ. α' ἤλθομεν εἰς τὴν Βενετία μετὰ τοῦ βασιλέως τοῦ κὺρ Ἰωάννου τοῦ Παλαιολόγου καὶ τοῦ πατριάρχου κὺρ Ἰωσὴφ καὶ τῆς συνοδείας μηνὶ Φεβρουαρίῳ η' ἡμέρᾳ Σαββάτῳ τοῦ Ἀσώτου· μηνὶ Μαρτίῳ η' ἤλθομεν εἰς τὴν Φεράραν εἰς τὸν πάπαν κὺρ Εὐγένιον.

† Τοῦ ,ϛϡμζ' ἰνδ. β' μηνὶ Ἰουνίῳ ι' ἡμέρα δ' ἀπεβίωσε ὁ πατριάρχης Ἰωσὴφ εἰς τὴν Φλωρεντία.

† Τῷ αὐτῷ ἔτει μηνὶ Ἰουλίῳ ϛτ' ἡμέρα β' ἑνώθην ἡ ἐκκλησία ἐντὸς τοῦ μεγάλου ναοῦ τῆς Φλωρεντίας.



ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

† Τῷ αὐτῷ μηνὶ κ´ ἐξήλθομεν ἐκ τῆς Φλωρεντίας καὶ ἤλθομεν εἰς τὴν Βενετία τῇ κζ´.

† Τῷ ,στϡμη´ ἤλθομεν ἀπὸ τὴν Φραγγίαν εἰς τὴν Πόλι μηνὶ Ἰανουαρίῳ λα´ ἰνδ. γ´ ἡμέρᾳ Κυριακῇ τῆς Ἀποκρέου.

† Τῷ αὐτῷ μηνὶ Μαΐῳ ε^η ἰνδ. γ´ ἐγένετον πατριάρχης ὁ κὺρ Μητροφάνης καὶ ἐλειτούργησε τῇ Κυριακῇ τῆς πεντηκοστῆς καὶ ἐμνημόνευσαν καὶ τὸν πάπαν Εὐγένιον.

† Ἁλώθη ἡ πατρὶς πάντων ἡ νέα Ῥώμη, ἡ περιφανὴς Κωνσταντινούπολις ἐν μηνὶ Μαΐῳ κθ´ ἡμέρᾳ γ´ τοῦ ἔτους ,στϡξα´ ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ Παλαιολόγου.

3 κῶδ.: τοῦ Μηϱ  5: τοῦ Σταδίου

## 7

Κῶδ. 298 τῆς μονῆς τῶν Ἰβήρων

*Κεφάλαιον υπε´.*

Περὶ τῶν Ἀγαρηνῶν ὅτι ἐν ποίῳ ἔτει ἔλαβον τὴν βασιλεύουσαν τῶν πόλεων καὶ τὰ ἕτερα κάστρη·

*Κεφάλαιον υπεον*

Ἔτει ,στϡξα´ Μαΐῳ κθ´ ἡμέρα γ^η βασιλεύοντος Κωνσταντίνου τοῦ Παλαιολόγου παρεδόθη ἡ Κωνσταντινούπολις τοῖς Ἰσμαηλίταις παρὰ Θεοῦ ἕνεκεν τὴν ἡμῶν ἁμαρτίαν· ἐδυνάστευσεν γοῦν τούτων, ἐδούλωσε πολλὰς χώρας καὶ πόλεις.

Ἔτους ,στϡοη´ μηνὶ Ἰουλίῳ ἀπὸ δὲ τοῦ Χριστοῦ ,αυο´ ἁλώθη ἡ Εὔριπος.

Ἔτους ,στϡπγ´ μηνὶ Ἰουλίῳ α´ ἀπὸ δὲ τοῦ Χριστοῦ ,ανε´ ἁλώθη ὁ Καφά.

Ἔτους ,στϡπθ´ Μαΐῳ γ´ ἀπέθανεν ὁ σουλτὰν Μεχεμέτης καὶ τὴν ιθ´ τοῦ αὐτοῦ μηνὸς ἐλήλυθεν ὁ υἱὸς αὐτοῦ Μπαγιαζήτης εἰς τὴν Πόλιν καὶ μετὰ β´ ἔτη ἐστράτευσε κατὰ Κελλίου καὶ Ἀσπροκάστρου:

Ἔτους ,ζζ´ Αὐγούστου κθ´ ἁλώθη ὁ Ναύπακτος.

Ἔτους ,ζη´ ἀπὸ δὲ Χριστοῦ ,αφ´ Αὐγούστου θ´ ἁλώθη ἡ Μεθώνη καὶ καὶ ἡ Κορώνη.

Ἔτους ,ζιβ´ ἀπὸ δὲ Χριστοῦ ,αφιγ´ μηνὶ Ἀπριλίῳ ἐδιώχθη ὁ Μπαγιαζήτης παρὰ τοῦ υἱοῦ αὐτοῦ Σελήμη, ὁ δ᾽ αὐτὸς Σελήμης τοῦ κράτους ἤδη καὶ τῶν σκήπτρων ἀναλαβὼν εὐθὺς κατὰ Περσῶν στρατεύει· τροπώσας γοῦν καὶ νικήσας ἐλήλυθεν πρὸς Κωνσταντινούπολιν.

Ἔτους δὲ ,αφιη´ μηνὶ Ἰανουαρίῳ στρατεύει κατὰ τῆς Μέμφης εἰς Αἴγυπτον, ἥντινα καὶ δουλώσας ἐκράτησε ἔτος τὸ ἀναγεγραμμένον ἐξολοθρεύσας τοὺς ὠμοτάτους Μαμαλούκους· καὶ οὐ πολὺ τὸ ἐν μέσῳ θνήσκει καὶ καταλιπὼν τὴν αὐτοκρατορίαν τοῦ υἱοῦ αὐτοῦ Σουλεημάνη. Διαδέχεται γοῦν οὗτος ὁ Σουλεημάνης τῶν σκήπτρων ,αφκ´ μηνὶ Σεπτεμβρίῳ· καὶ εὐθὺς στρατεύει κατὰ τῶν Οὐγαρῶν εἰς τὸ Μπελιγράδιον, ὅπερ καὶ ἁλώθη.

Ἔτους ,αφκα´ μηνὶ Αὐγούστῳ κζ´ τὸν ἐπιόντα χρόνον ,αφκβ´ ἀπὸ Χριστοῦ ἐποίησεν ὁ σουλτὰν Σουλεημάνης στρατὸν χιλιάδας σ´ διὰ ξηρᾶς καὶ διὰ θαλάσσης,

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

τριήρεις σο΄ καὶ ἀπῆλθον εἰς τὴν Ῥόδον ἀπὸ τὸν Ἰούλιον μῆναν καὶ ἐπολέμει αὐτὴν ἀπὸ τὸν Ἰούλιον μῆνα ἕως τὸν Δεκέμβριον· τῇ κε΄ τοῦ αὐτοῦ Δεκεβρίου μηνὸς ἐπαραδόθη ἡ αὐτὴ ἀθλία Ῥόδος εἰς τὰς χεῖρας αὐτοῦ, ἔδωκεν δὲ ἄδειαν καὶ ἐξέβη ἐκ τοὺς Ῥοδίτας ὅστις ἤθελεν.

Ἔτει ,στωνδ΄ δ᾽ ἀπὸ Χριστοῦ ,ατνδ΄ ἐπέρασαν οἱ Τοῦρκοι εἰς τὴν Δύσιν.

Ἔτους ,στωξε΄ ἐπῆρε τὴν Καλλιούπολιν, ἀπὸ δὲ Χριστοῦ ,ατξε΄.

Ἔτους ,στωοζ΄ ἀπὸ δὲ Χριστοῦ ,ατοζ΄ ἐπῆρε τὴν Ἀνδριανούπολιν.

Ἔτους ,στϡλε΄ Μαΐῳ κδ΄ ἐπῆραν τὴν Θεσσαλονίκην.

Ἔτους ,στϡξδ΄ μηνὶ Ἰουνίῳ ἐπαρεδόθη εἰς χεῖρας τῶν Τουρκῶν ἡ πόλις τῶν Ἀθηνῶν.

Ἔτους ,στϡξη΄ ἀπὸ δὲ τοῦ Χριστοῦ ,αυξ΄ ἦλθεν ὁ αὐθέντης εἰς τὸν Μιζιθρᾶν καὶ παρεδόθη ὁ δεσπότης κὺρ Δημήτριος.

Ἔτους ,στϡ΄, ἀπὸ δὲ Χριστοῦ ,αυξβ΄ ἁλώθη ἡ Τραπεζοῦντα.

Ἔτους ,στωϟζ΄ ἐπαρέλαβεν ἡ αὐθεντία τῶν Βενετικῶν τὸ Ἀνάπλι.

Ἐν δὲ τῷ ,αφλζ΄ Σεπτεβρίῳ ιδ΄ ἰνδ. ιαης ἐποίησεν μάχην ὁ μέγας αὐθέντης μετὰ τῶν Βενετίκων καὶ ἐν τῷ μ΄ ἔτει δηλονότι ἀπὸ Χριστοῦ ἐγένετο ἡ συμφωνία τῆς ἀγάπης καὶ ἔδωκαν οἱ Βενέτικοι τὸ Ἀνάπλι καὶ τὴν Μονοβασίαν· καὶ οὕτως ἐγένετο ἡ ἀγάπη. Καὶ τῷ αὐτῷ ἔτει τῷ μ΄ μηνὶ Νοεβρίῳ κα΄ ἡμέρα Κυριακῇ ἐπαρέλαβεν ἀπὸ τοὺς Βενετίκους τὸ Ἀνάπλι ὁ Κασιμπασᾶς. Καὶ τῇ κδ΄ τοῦ αὐτοῦ μηνὸς καὶ τῷ αὐτῷ ἔτει ἐπαρέλαβαν καὶ τὴ Μονεμβασία· καὶ ὅσοι ἤθελαν Ναυπλιῶται καὶ Μονεμβασιῶται ἀπῆλθον μετὰ τῶν Βενετίκων· οἱ ἄλλοι δὲ ἔμειναν ἐν τῇ ἰδίᾳ πατρίδι αὐτῶν, ἔλαβαν δὲ οἱ Βενέτικοι καὶ τὰς σκευὰς τῶν κάστρων καὶ τὰς καμπάνας τῶν ἐκκλησιῶν, ὅτι οὕτως ἐσυμφώνησαν, ὅταν ἐποίησαν τὴν ἀγάπην.

*Περὶ τῶν αὐθεντῶν τῶν Ἰσμαηλιτῶν ποῦ ἦσαν ἐξ ἀρχῆς ἕως τουνῦν καὶ πῶς καλοῦνται.*

*Κεφάλαιον υπστ΄*

α΄ Ὀτμανὴρ β΄ Ὀρχάνης γ΄ Μουράτης δ΄ Μπαγιαζήτης ε΄ Μεχμέτης στ΄ Μουράτης ζ΄ Μαχμέτης η΄ Μπαγιαζήτης θ΄ Σελήμης ι΄ Σουλεϊμάνης ια΄ Σελήμης ιβ΄ Μουράτης ιγ΄ Μαχμέτης.

Οὗτοι εἰσὶν οἱ αὐθένται μας οἱ λεγόμενοι Ὀτμανλίδες.

## 8

Κῶδ. Ἑλληνικοῦ Σχολείου Σκοπέλου (ἀντίγραφον Ν. Γεωργάρα)

|φ. 415 β| Εἰς τοὺς ,αφογ΄ μηνὶ Μαΐῳ ἔκαμεν ἀγάπην ὁ Βενετζᾶνος μὲ τὸν Τοῦρκον· καὶ ἔδωκεν ὁ Τοῦρκος τῶν Βενετζάνων τρία καστέλλια εἰς τὰ μέρη τῆς Σκλαβηνίας καὶ ὁ Βενετζᾶνος ἔδωκε τριακοσίες χιλιάδες τζικινίων. Ἡ αἰτία τῆς ἀγάπης ἦτον, διότις δὲν

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ἤρχετο ἡ ἀρμάδα τοῦ ῥηγὸς γλήγορα, καθὼς ἦτον ὁ λόγος τους· μὰ ἐνέμενε τὸν Σεπτεμβροκτώβρην κατὰ τὸ ἔθος του, καὶ ἐφοβᾶτο μήπως καὶ τραϊτορεύεταί τον.

Εἰς τοῦτον τὸν χρόνον ἤλθασι πολλοὶ σολντάδοι εἰς τὸ νησὶ τῆς Κρήτης καὶ ἐκάμασι πολὺ κακὸν εἰς τὸ νησί, κλεψίας, πορνείας, φόνους, ἀσασιναμέντα καὶ ὅσα τοιαῦτα.

Εἰς τοὺς ,αφοδ΄ ἔχοντας ἀγάπην ὁ Τοῦρκος μὲ τοὺς Βενετίκους ἔκαμεν ἀρμάδαν ἄρμενα τριακόσια, καὶ ἐπῆγε κόντρα τοῦ ῥηγός, καὶ ἐπῆρε του τὸ Τούνεζι καὶ τὴν Γουλέταν μὲ μεγάλην αἱματοχυσίαν καὶ [.'.]φάνισε ταῖς χώραις ταύταις ἕως ἐδάφους τῆς γῆς, μὰ μὲ πολὺν χαλασμὸν τῶν Ἀγαρηνῶν.

[...ος] εἰς τοὺς ,αφοδ΄ ἀπέθανεν ὁ μέγας ἀφέντης καὶ ἐγίνηκεν ὁ πρῶτος του υἱὸς ἀφέντης ἔχοντας καὶ αὐτὸς ἀγάπην μὲ τοὺς Βενετίκους.

[...] ἦλθεν εἰς τὴν Κρήτην γενεράλης ὁ Ἰακῶβις Φουσκαρῖνος, ὅστις ἔδειξε πολλαῖς τάξαις.

Εἰς ,αρ΄ ἔλαβον οἱ Σαρακηνοὶ τὰ Ἱεροσόλυμα ἐκ τῶν χειρῶν τῶν Ῥωμαίων.

Εἰς ,αυμστ΄ ἔλαβεν ὁμοίως αὐθέντης τὸ πρῶτον Ἑξαμίλιον Δεκεμβρίῳ, ἡμέρᾳ στ΄.

Εἰς ,αυνγ΄ ἔλαβεν ὁμοίως αὐθέντης τὴν Κωνσταντινούπολιν, Μαΐῳ κθ', ἡμέρᾳ Τρίτῃ.

Εἰς ,αυνθ΄ ἔλαβεν ὁμοίως αὐθέντης τὸν Μιζηθρᾶν καὶ ὅλον τὸν Μορέαν, Μαΐῳ ιθ' ἡμέρᾳ ε΄.

Εἰς ,αυο΄, ἔλαβεν ὁμοίως αὐθέντης τὸν Εὔριπον, Ἰουλίῳ κ΄ ἡμέρᾳ Πέμπτῃ.

Εἰς ,αυοη΄, ἐποίησεν ὁμοίως αὐθέντης ἀγάπην μὲ τοὺς Βενετίκους.

Εἰς ,αυπα΄ ἀπέθανεν ὁμοίως αὐθέντης Ἀπριλίῳ ιθ΄.

Εἰς ,αυϙθ΄ Αὐγούστου κθ΄ ἐπαραδόθη ἡ Ἔπακτος τῶν Τούρκων.

Εἰς ,αφ΄ Αὐγούστου θ΄ ἔλαβεν ὁμοίως αὐθέντης τὴν Μοθώνην ἐν πολέμῳ.

Εἰς ,αφ΄ Αὐγούστου ιστ΄ ἐπαραδόθη ἡ Κορώνη.

Εἰς ,αφη΄ ἐγένετο ὁμοίως σεισμὸς εἰς τὴν Κρήτην, Μαΐῳ κθ΄ Δευτέρᾳ ἑσπέρᾳ.

Εἰς ,αφιγ΄ ἐκυρίευσεν τὴν Κωνσταντινούπολιν ὁ Σολτασελήμης.

Εἰς ,αφιζ΄ ἔλαβεν ὁ Τοῦρκος τὸ Κάερος.

Εἰς ,αφκα΄ ἔλαβεν ὁμοίως αὐθέντης τὸ Μπελιγράδιον.

Εἰς ,αφκβ΄ Ἰουνίῳ κστ΄, παρεγένετο ὁ Τοῦρκος εἰς τὴν Ῥόδο μας.

Εἰς ,αφκβ΄ ἔλαβεν ὁμοίως αὐθέντης τὴν Ῥόδον, Δεκεμβρίῳ ιγ', ἡμέρᾳ Κυριακῇ· ἐπολεμεῖτο μῆνας πέντε καὶ ἡμέρας ιθ΄.

Εἰς ,αφξστ΄ ἔλαβεν ὁ Τοῦρκος τὴν Χίον τὸ μέγα Σάββατον, κυριεύοντος τοῦ Σουλαϊμάνη.

Εἰς ,αφο΄ ἔκαμε μάχην ὁ Τοῦρκος μὲ τοὺς Βενετίκους καὶ ἐκάμασι καὶ τὰ δύο μέρη μεγάλην ἀρμάδαν, μᾶλλον δὲ οἱ Βενετίκοι. Τρόμος μέγας κατελάμβανε τοὺς θεωροῦντας αὐτήν.

Τὸν αὐτὸν χρόνον εἰς τοὺς ,αφο΄ ἐπῆγεν ἡ ἀρμάδα τοῦ Τούρκου εἰς τὴν

Κύπρον, εἰς τὴν χώραν τῆς Λευκωσίας, καὶ οὕτως ἄνευ τινὸς πολέμου ἐξαίφνης τοὺς ἐσαλτάρισεν ἀπάνω εἰς τὴν Λευκωσίαν εἰς τὰς η´ τοῦ Σεπτεμβρίου, Σάββατον ξημέρωμα· καὶ ἐγένετο πολὺς φόνος καὶ αἰχμαλωσία πλουσίων καὶ πενήτων ἀνδρῶν καὶ γυναικῶν, ὅπερ οὐκ ἐγένετο πώποτε. Ἔμεινε δὲ ἡ Ἀμμόχωστος μόνη σώα καὶ ἀκέραια μετὰ τοῦ λαοῦ αὐτῆς. Εἰς δὲ τὴν ἀρμάδαν τῶν Βενετίκων συνέβη πολὺς θάνατος πλουσίων καὶ πενήτων διὰ τὰς ἁμαρτίας ἡμῶν, δι᾽ ἣν αἰτίαν οὐκ ἐδυνήθησαν ἀπελθεῖν εἰς Κύπρον βοηθῆσαι τοῖς ἀθλίοις Κυπρίοις, ἀλλ᾽ ἔστρεψαν εἰς τοὐπίσω. Τὰ δὲ μεταξὺ ἀλλήλων τὰ μέλλοντα συμβαίνειν Κύριος μόνος οἶδε. Φεῖσαι, Δέσποτα, τῶν δούλων σου, ἵνα μὴ λέγωσιν οἱ ἄθεοι καὶ παράνομοι ποῦ ἐστὶν ὁ Θεὸς αὐτῶν.

Καὶ εἰς τοὺς ,αφοα´ τὸν μῆνα τὸν Μάρτιον εὑρισκόμενος ὁ τζενεράλης τῶν Βενετίκων μὲ τὴν ἀρμάδαν εἰς τοὺς Κορφούς, ἤλθασι γραφαῖς ἀπὸ τὴν Βενετίαν, αἱ ὁποῖαι ἐπροστάσσαν νὰ εὔγει ἐκεῖνος ὁ τζενεράλης ἀπὸ τὸ ὀφίτζιον καὶ νὰ ἔμπη ὁ μισὲρ Μπαστιὰν Βιτέρης, ἄνθρωπος λίαν συνετὸς καὶ τολμηρός, τοῦ ὁποίου ἦλθε τὸ μαντᾶτον εὑρισκομένου εἰς τὴν Κρήτην. Καὶ οὕτως διέβη εἰς τοὺς Κορφοὺς μὲ ἔξη κάτεργα, ἀλλ᾽ οὐκέτι οἴδαμεν τί μέλλει γενέσθαι. Εἴη δὲ ἐπὶ συμφέρον τῶν Χριστιανῶν δέσποτα Κύριε.

Τὸν αὐτὸν χρόνον ἐπῆρεν ὁ Τοῦρκος καὶ τὴν Ἀμμόχωστον καὶ ἐγένετο πολὺς φόνος καὶ αἰχμαλωσία τοῖς χριστιανοῖς.

Ἔτι τὸν αὐτὸν χρόνον ἤκαμεν ἀρμάδαν πολλὴν ὁ Τοῦρκος καὶ ἦλθεν εἰς τὴν Σοῦδαν, καὶ ἤκαυσεν τὸ Ῥέθεμνος καὶ τὰ περίγυρα τῶν Χαναίων (!) καὶ διέβαινε ἀπὸ χώραν εἰς χώραν καίων καὶ αἰχμαλωτίζων, ἕως ὅτου ἐσμίξαν οἱ ἀρμάδες καὶ Θεοῦ οἰκονομοῦντος κατελύθη ἡ ἀρμάδα τοῦ Τούρκου παντελῶς εἰς τὰς η´ τοῦ Ὀκτωβρίου ,αφοα´· καὶ οὕτως ἔλαβε τὸ νῖκος ἡ ἀρμάδα τῶν Βενετίκων καὶ τοῦ Ῥε-Φιλίππου οἱ ὁποῖοι ἐκάμαν ἀλλήλοις πίστιν διὰ νὰ νικήσουν τὸν ἐχθρόν, ὅπερ καὶ ἐγένετο.

Εἰς τοὺς [,αφοβ´] ἐφάνη εἰς τὸν οὐρανὸν στρατὸς δι᾽ ἀστέρων.

Εἰς τοὺς ,αφοβ´ Ὀκτωβρίῳ ιη´, ἔφυγεν ἡ ἀρμάδα τοῦ Τούρκου, τὴν ὁποίαν εἶχε σεντιάδα ἡ ἀρμάδα τῶν χριστιανῶν εἰς τὸ τῆς Μοθώνης. Εἶχε πάλιν ὁ Τοῦρκος τότε διακόσια κάτεργα· μπασᾶς ἦτον τότε ὁ Ἀλούτζαλης, ὁ ὁποῖος ἔφυγεν [μὲ] χαλασμὸν τῆς ἀρμάδας, εὗρεν ἄδειαν τοῦ φυγεῖν. Ἔστοντας καὶ νὰ κατέβη φουσᾶτον τούρκικον ἀπὸ τὴν γῆν τῆς [. . .] καὶ νὰ λάβη τὸν τόπον τοῦ νεροῦ, οἱ χριστιανοὶ παγαίνοντας νὰ κάμουν δύναμιν εἰς τὸν τόπον τοῦ νεροῦ, ἔφ[υγεν] ἡ ἀρμάδα ἡ τούρκικη καὶ ἐλυπήθησαν πολλὰ οἱ χριστιανοί.

|φ. 417 α| ,Αφοε´ ἔχοντας ὁ Τοῦρκος ἀγάπην μὲ τοὺς Βενετίκους, ἐγίνηκε πεῖνα μεγάλη εἰς τὴν Τουρκίαν ὅλην καὶ μάλιστα εἰς τὴν Κωνσταντινούπολιν. Ἦλθε καὶ φωτία ἐξ ἀστραπῆς καὶ ἐκάγησαν μέσα εἰς τὸν ἀρσανᾶν καμπόσα κάτεργα εἰς τὴν Πόλιν καὶ ἐβουλήσαν ὀκτὼ καράβια γεμᾶτα στάρι, ὥστε ἀπὸ τῆς λύπης ταύτης ἐψόφησεν ὁ μέγας ἀφέντης καὶ ἔγινεν ἕτερος, νέον παιδὶ ὡς χρόνων ι´.

,αφοστ΄ ἐγένετο θανατικὸν μεγάλον εἰς τὴν Βενετίαν.

,αφοζ΄ τὸν μῆνα τὸν Νοέμβριον ἐφάνη εἰς τὸν οὐρανὸν ἄστρον μὲ οὐρὰν μεγάλην.

,αφοη΄ τὸ μῆνα τὸν Μάρτιον εἰς τὰς ιε΄ ἐγίνηκε χιὼν χοντρὸν (!) ὡς καρύδι καὶ ἐκράτει μίαν ὥραν. Μέγας φόβος τότε ἐγένετο τοῖς ἀνθρώποις. Καὶ εἰς τὰς ιθ΄ τοῦ Ἀπριλίου μηνὸς ἐγένετο βροχὴ σφοδρὰ καὶ πολλή, καὶ ἐχαλάσαν πολλὰ σπίτια. Ἔλεγον δὲ πάντες ὡς ἕτερος κατακλυσμὸς ἐστί, διότι τρία ἡμερονύκτια ἔβρεχε καὶ δὲν ἐσκόλασε μηδεποσῶς. Ἐφοβήθησαν δὲ πάντες, λέγοντες, ἄρα τί μέγα κακὸν ἔχομεν ἰδεῖν; διὰ τοῦτο ἐφάνη πρότερον τὸ ἄστρον. Ἀλλὰ δόξα τῇ τοῦ Θεοῦ ἀγαθότητι τῇ ρυσαμένῃ ἡμᾶς ἐκ τοιούτων συμφορῶν.

,αφοθ΄ δὲν ἤρχισε νὰ βρέξῃ εἰς τὴν Χώραν ὡς τὰς η΄ τοῦ Δεκεμβρίου μηνὸς καὶ εἰς τὴν Μεσαρὰν ἕως ταῖς ιδ΄ τοῦ αὐτοῦ μηνός. Ἔπειτα ἀρχίσαν οἱ βοράδες καὶ ἔβρεχε συχνάκις εἰς τὰ μέρη τῆς Χώρας καὶ εἰς τὴν Μεσαρὰν μηδαμῶς, ἕως ταῖς ι΄ τοῦ Φεβρουαρίου μηνὸς καὶ ἦτον πολλὴ λύπη εἰς τοὺς ἀνθρώπους ὅλους καὶ ἐγένετο τὸν χρόνον ἐτοῦτον ἀστοχία καὶ ἀκρίβεια μεγάλη. Καλὰ καὶ εἰς τὰ μέρη τῆς Χώρας νὰ ἐκάμασι κατὰ τόπον καρπούς, ἀλλὰ εἰς τὰ μέρη τῆς Μεσαρᾶς ἐγένετο μεγάλη δυστυχία. Τὸ δὲ αἴτιον ἡ ἁμαρτία ἡμῶν.

,αφπ΄ ἐγένετο ἀσθένεια μεγάλη εἰς ὅλον τὸ νησὶ τῆς Κρήτης, ἀκομὴ καθὼς ἐμάθομεν καὶ εἰς ἄλλαις χώραις. Ἡ ἀσθένεια ἦτον αὐτή. Ἐμπρὸς ἔδιδε βῆχαν σφοδρότατον μὲ φλέγματα καὶ ὕστερον σολίμικα. Ἀπέθανον πολλοὶ τὸν χρόνον ἐκεῖνον καὶ μάλιστα εἰς τὴν Χώραν. Ἀκομὴ τὸν χρόνον τοῦτον ἐγένετο λιμὸς μέγας. Εἰς τὰ χωρία ἐπερνοῦσαν οἱ ἄνθρωποι μὲ τὰ χορταρικὰ μόνον, ἕως ὅτου ἔπεμψε πάλιν ὁ Θεὸς τὴν εὐτυχία εἰς τοὺς ,αφπα΄ καὶ ἐκορέσθη ὁ λαός. Δόξα τῇ αὐτοῦ ἀγαθότητι.

,αφϟα΄ ἐγένετο λιμὸς μέγας εἰς τὴν Κρήτην. Μὲ τὸ κεχρὶ ἔζησαν πάντες οἱ πένητες καὶ μὲ τὰ χόρτα τῆς γῆς, ὁποῦ δὲν ηὑρίσκετο μήτε κουκκίον μήτε ἄλλο τι λεγοῦμι. Χειμὼν ἀδεξιώτατος καὶ σκληρότατος μὲ βροχαῖς φοβεραῖς, ἀπὸ ταῖς ὁποίαις δὲν ἐμποροῦσαν οἱ ἄνθρωποι νὰ σπείρουν. Τοῦτο τὸ κακὸν ἦτον καὶ εἰς τοὺς ,αφϟ΄.

Εἰς τοὺς ,αφϟβ΄, χρόνος κατηραμένος, ἐγένετο μεγάλον θανατικὸν ἀπὸ πανόκλα καὶ ἀπὸ καρμπά, πρᾶγμα ὁποῦ δὲν ἐφάνη ποτὲ εἰς τὴν Κρήτην (ἐν τῇ φα: ἀπέθανε πλῆθος πολύ). Ἡ συμφορὰ αὕτη γέγονε εἰς τὸ Κάστρον καὶ εἰς καμπήσια χωρία. Τὰ Χανία καὶ τὸ Ῥέθεμνος ἔμειναν ἄγευστα τοῦ κακοῦ τούτου. Ἐκράτει ὁ θάνατος οὗτος ἀπὸ ταῖς κ΄ τοῦ Μαρτίου, ὁποῦ ἦτον τότε ἡ λαμπροφόρος ἀνάστασις τοῦ Χριστοῦ εἰς τὰς κστ΄ τοῦ Μαρτίου, καὶ ἔστρεψεν ἡ χαρά μας εἰς μέγα πένθος· διὸ ὁ θάνατος ἤρχισε ἀπὸ τῆς κ΄ τοῦ Μαρτίου ἕως ὅλον τὸν Ἰούλιον. Ἐποθένασι τὴν ἡμέραν διακόσιοι καὶ περισσότεροι. Ἐρίχνασι τοὺς νεκροὺς ἀψάλτους καὶ ἀτίμως ὥσπερ τοὺς κύνας. Ἐποθάνασι τότε καὶ ν΄ ἱερεῖς εἰς τὴν Χώραν. Εἶχε π[ολὺ] ἔξοδον ὁ ἀφέντης, διότι ἐτάγιζε τοὺς ἀρρώστους εἰς τὸ Ἀκρωτήριον. Ἔχασ[αν] πολλοὶ εἴ τι εἴχασι· διότι ἔμειναν τὰ σπίτια ἔρημα, καὶ ὅποι[ος] ἤθελεν ἔκλεπτεν ἀφόβως. Ταῦτα εἰσὶ τὰ γεννήματα τῆς ἁμαρ[τίας].

|φ. 417 β| Εἰς τὸν αὐτὸν χρόνον, εἰς τοὺς ,αφϞβ´, ἀφ' οὗ ἔπαυσε λιγάκι τὸ θανατικὸν ἀπὸ τὸν Ἰούλιον μῆνα, πάλιν δὲν ἔπαυεν ὁ θάνατος καθημερινὸν εἰς τὴν χώραν, δέκα δώδεκα κορμία τὴν ἡμέραν. Μὰ εἰς τὰ χωρία θάνατος πολύς. Εἰς τόσον φοβούμενοι οἱ ἀφέντες μήπως καὶ ἀνάψη πάλιν τὸ κακὸν ἀπὸ τὰ χωρία εἰς τὴν Χώραν, ἐκλείσαν ταῖς πόρταις τῆς Χώρας, καὶ ἀπόξω δὲν ἔμβαινε τινὰς μέσα, μήτε τινὰς νὰ ἔβγη ὄξω. Ἐγένετο τὸ σφάλισμα τοῦτο ἀπὸ τὸν Νοέμβριον μῆνα ,αφϞβ´ ἕως ταῖς ιε´ τοῦ Αὐγούστου ,αφϞγ´. Τὸν φόρον εἴχασιν ἔξω εἰς τὴν πόρταν τοῦ Χριστοῦ τοῦ Φωτοδότη κεκλεισμένον μὲ τράβαις, νὰ παίρνουσιν οἱ ἄνθρωποι τῆς χώρας τὰ φαγία, νὰ μὴν ἐγγίζη τινὰς τῶν ἀνθρώπων ὁποῦ ἐστέκασιν ἔξω. Μέγα κακὸν τοῦτο καὶ πολλὴ ντισκομοντιτὰ τῶν ἀνθρώπων καὶ τῶν ἔξω καὶ τῶν ἔσω. Μὰ τὸν Αὔγουστον μῆνα ,αφϞγ´ ἐγένετο ἡ ἐλευθερία καὶ ἠνοίγησαν αἱ πύλαι τῆς πόλεως. Ὅταν ἦσαν οἱ τῆς πόλεως ἄνθρωποι κεκλεισμένοι μέσα εἰς τὴν Χώραν, ἐπροστάξασιν οἱ ἀφένταις τὸν Νοέμβριον μῆνα, ὅτι ὅλοι νὰ εἶναι σεράδοι μέσα εἰς τὰ σπίτιά τως νὰ μὴ σμίγη γείτονας τὸν γείτονα ὡς ιβ´ ἡμέραις, διὰ νὰ βάνουσιν ὅλοι τὰ ροῦχα τως ἀπάνω εἰς τὰ δώματα νὰ ξεσπουράρουν. Διότι ἐλέγασι πῶς ἐκράτει ἀκομὴ τὸ θανατικόν. Καὶ τοῦτο ἐγένετο τὸν Νοέμβριον μῆνα ,αφϞβ´ ἀπὸ ταῖς κ´ τοῦ μηνὸς τούτου. Καὶ ὅλοι κεκλεισμένοι τότε, εἰς τὴν ἑορτὴν τῆς Ἁγίας Αἰκατερίνης δὲν ἦλθε τινάς. Μὰ τὴν ἀλήθειαν μεγάλη συμφορά. Τὸ ψυχικὸν ὁποῦ δίδοται κάθε χρόνον εἰς τὸ μοναστήρι μέσα, τότε ἐδόθη εἰς τοῖς γειτόνους (;) Καὶ μέγας θόρυβος εἰς τὸν λαὸν τὸν κεκλεισμένον δέκα μῆνας, ἕως ὅτου ἐδόθη ἡ ἐλευθερία καὶ ἡ ἄνοιξις τῆς Χώρας εἰς τὰς ιε´ τοῦ Αὐγούστου ,αφϞγ´. Ἀκρίβεια μεγάλη εἰς τοὺς τεχνίτας ὅλους, διότι ὀλίγοι ἔμειναν, ἀκόμη καὶ εἰς τὰ πράγματα καὶ σηκώματα (;). Ἔχασαν πολλοὶ εἴ τι ἄρα καὶ εἶχον, διότι τὰ σπίτια ἔμειναν ἔρημα, πάντες ἔφευγον ἔξω εἰς τὰ σπήλαια καὶ εἰς τὰς ὀπὰς τῆς γῆς. Ἱερεῖς πολλοὶ ἀπέθανον, ἰατροί, ποβολάνοι πολλοί, πλούσιοι καὶ πένητες, εἰς νούμερον ἕως τριάκοντα χιλιάδες καὶ κάλλιον. Οἱ ἄρχοντες ἔμειναν ἀθῶοι τοῦ κακοῦ τούτου, διότις ἔφυγον ἀπὸ τὴν Χώραν καὶ ἐκρύπτοντο εἰς τὰ χωρία τως μὲ καλαῖς βιγίλαις νὰ μὴ σιμώση τινὰς ἐκεῖ ὁποῦ εὑρίσκοντο. Τοῦτο τὸ κακὸν ἔλαβε καὶ ἡ Κωνσταντινούπολις ἀπὸ καραμου[σ]αλίδες ὁποῦ ἦσαν εἰς τὴν Κρήτην, ὅταν ἤρχισε τὸ κακόν. Ἀπέθανον καὶ εἰς τὴν Πόλιν πολὺς λαός. Εἴχαμεν μέγαν φόβον τότε, μανθάνοντας πῶς κάμνει ἀρμάδαν ὁ Τοῦρκος νὰ πολεμήση τὴν Κρήτην τώρα ὁποῦ ὀλίγον λαὸν ⟨εἶχεν⟩, ὁ ὁποῖος ἀπέθανεν ἀπὸ τὴν πανόκλαν. Μὰ ὁ Θεὸς τετύφλωκεν αὐτὸν καὶ ἐρρύσθημεν ἀπὸ τῶν χειρῶν αὐτοῦ. Ταῦτα εἰσὶ τὰ γεννήματα τῆς ἁμαρτίας. Ἐκ τῶν ἁμαρτιῶν ἡμῶν ἦλθεν ἡ συμφορὰ αὕτη ἡ λίαν φοβερὰ εἰς τὴν Κρήτην καὶ ἤρχισεν ἀπὸ ταῖς κ´ τοῦ Μαρτίου ,αφϞβ´ ἕως τὸν Ἰούλιον, ὁποῦ ἔκοπτε περίσσα, τριακόσιοι τὴν ἡμέραν καὶ περισσότεροι. Καὶ ἀπὸ τὸν Ἰούλιον τοῦ ,αφϞβ´ ἔπαυσε λιγάκι ἀπὸ τὴν Χώραν, μὰ εἰς τὰ χωρία ἔκοπτε περίσσα, ὅταν ἐκλείσθησαν αἱ πύλαι τῆς Χώρας, καὶ ἐκράτει ἀκομὴ ὁ θάνατος καὶ μέσα καὶ ἔξω ἕως τὸν ἄλλον Ἰούλιον ,αφϞγ´. Καὶ τότε παντελῶς ἔπαυσεν ἡ συμφορὰ αὕτη. Καὶ εἰς τὰς ιε´ τοῦ Αὐγούστου ,αφϞγ´ ἐδόθη ἡ ἐλευθερία

καὶ ἠνοίγησαν αἱ πύλαι τῆς πόλεως. Ἀλλὰ φοβηθῶμεν, ὦ Χριστιανοί, καὶ παυσώμεθα τῆς κακίας ἕκαστος, ἵνα μὴ χείρονα τούτων πάθωμεν, ὅπερ μὴ γένοιτο, Χριστὲ βασιλεῦ, ἀλλὰ νικησάτω τὸ ἄπειρον πέλαγος τῆς φιλανθρωπίας σου τὸ πλῆθος τῶν ἡμετέρων ἁμαρτημάτων.

|φ. 418α| Πάλιν καὶ εἰς τοὺς ,αφνδ´ οὐκ ἔλειψεν ὁ θάνατος ὁ τοιοῦτος, μὰ ἔκοπτε συχνάκις, καὶ φόβος μέγας καὶ εἰς τὴν Χώραν καὶ εἰς τὰ χωρία, καὶ πάλιν ἐκλείσθη ἡ πόλις καὶ ἡ μία πύλη τοῦ Παντοκράτορος ἠνοίγη, καὶ φόβος διὰ τὴν ἀρμάδαν τοῦ Τούρκου, καὶ εἰσῆλθον μέσα ὅλοι οἱ προβελεγιάδοι. Καὶ εἰς τὰς δ´ τοῦ Αὐγούστου μηνὸς ἐφάνη λάμψις μεγάλη εἰς τὸν οὐρανὸν δύο ὥραις νὰ ξημερώσῃ. Καὶ εἰς τὰς ιβ´ τοῦ Αὐγούστου δύο ὥραις νὰ ξημερώσῃ ἐγένετο μεγάλη καὶ σφοδρὰ βροχὴ μὲ βρονταῖς καὶ μὲ ἀστραπαῖς φοβεραῖς καὶ ἔβρεχεν ὅλην τὴν ἡμέραν ἐκείνην, ὥστε διεφθάρησαν καὶ πολλὰ ἀμπέλια, ἅπερ ἦσαν ἕτοιμα τοῦ τρύγους. Τὰ δὲ λοιπὰ Κύριος οἶδεν.

,αχιστ´ Δεκεμβρίου εἰς τὰς ιβ´ τοῦ ἁγίου Σπυρίδων τὴν ἡμέρα, ἐγένετο ἀστραπαὶς καὶ βρονταὶ καὶ πλῆθος νεροῦ, ὥστε ὁποῦ ἐπήρανε οἱ ποταμοὶ ἀνθρώπους πολλοὺς ὑπὲρ τοὺς πεντακόσους καὶ σπίτια καὶ μύλους πολλοὺς καὶ πρεβόλια, καὶ ἀληθινὰ ἤτονε μέγας φόβος καὶ μεγάλη λύπη εἰς τοὺς ἀνθρώπους καὶ εἰς ταῖς στάντζιαις ὁποῦ ἐχαθήκανε. Καὶ ἐτούτη ἡ συμφορὰ ἐγίνηκεν εἰς τὴν Κρήτην εἰς τοῦ Κάστρου τὰ περίχωρα. Καὶ τοῦτο ὅλον διὰ τὰς ἁμαρτίας ἡμῶν. Φεῖσαι, Κύριε, τοῦ πλάσματός σου.

Τὸ αὐτὸ ἔτος ἔπεσεν κάποιο χιόνι τὴ νύκτα καὶ ντελκανκάνο (;) κάποιοι γιάτζο καὶ ἐκαγήκανε τὰ δεντρά, ὁποῦ δὲν εὑρίσκεν τις πωρικὸ οὔτε λεμόνι οὔτε νεράτζι οὔτε ἄλλο τίποτας καὶ ἐπεθυμούσανε οἱ ἄνθρωποι ἀπὸ τοῦτα καὶ δὲν τἄχασι.

|φ. 418β| ,αχιη´ Ὀκτωβρίου κ´ ἐφάνηκε τὸ μέγα σημάδι καὶ φοβερὸ κατὰ ἀνατολὰς καὶ ἐφαίνετον πολλὲς ἡμέρες. Ὥστε δὲν ἠξεύρει τίνας εἶντα τέλος νάχουνε ἐτοῦτα τὰ σημάδια.




Τῷ δὲ ,αχλα´ ἀπὸ Χριστοῦ γεννήσεως ἔτει, κρατοῦντος τῆς τῶν Ἐνετῶν γερουσίας Φραγγίσκου τοῦ Ἐρίκου ἐγένετο ἐν αὐτῇ τῇ τῶν Ἐνετῶν χώρᾳ λοιμὸς ἰσχυρός, ἐκράτησε δὲ ἡ θραῦσις ὑπὲρ τὰ δύο ἔτη· ὁ δ᾽ ἀριθμὸς τῶν θανόντων ἦν χιλιάδες πέντε καὶ ἑβδομήκοντα.

Κατὰ δὲ τῷ ,αχμεᵠ´ ἔτει ἐστράτευσαν καθ᾽ ἡμῶν τῶν Κρητῶν οἱ Ἀγαρηνοὶ μετὰ μεγάλου στόλου. Καὶ πρῶτον μὲν ἔλαβον τὴν Κυδωνίαν· οὐ μετὰ μάχης (ἐπολέμει καὶ γὰρ ἀνδρείως) ἀλλ᾽ ὑπ᾽ ἐνδείας αὐτὴ παρεδόθη, ἣν καὶ λαβόντες ἐστράφησαν εἰς τὰ ἴδια.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Τῷ δὲ [,αχ'] μστῳ ἔτει, τοῦ ἔαρος ἀρχομένου, πάλιν ἦλθον καὶ τὴν Ῥηθύμνην μετὰ μαχαίρας ἔλαβαν. Ἐκ ταύτης δὲ τὴν ἅπασαν κατακυριεύσαντες νῆσον καὶ φόνους πολλοὺς ποιήσαντες, σκῦλα τε καὶ λάφυρα πλεῖστα λαβόντες, τὸ κάστρον τοῦ Χάνδηκος περιεκύκλωσαν.

61 κῶδ.: Θεὸν οἰκονομοῦντες 132: γειτόνοις 135: Cῆ πόματα.

## 9

Κῶδ. τῆς μονῆς Ἰβήρων 382 φ. 964 α.

Ἔτους ,στϡλβ΄ ἐξέβη ὁ βασιλεὺς Ἰωάννης ὁ Παλαιολόγος καὶ ἐδιέβη εἰς τὴν Ἰταλίαν εἰς τὴν σύνοδον.

Νοεμβρίῳ ιε΄ ἐξέβη ἀπὸ τὴν Πόλιν καὶ εἰς τὰ [,στϡ]λγ΄ Ὀκτωβρίου κ΄ ἦλθεν εἰς τὴν Πόλιν ὁ αὐτὸς βασιλεύς.

[,στϡ]λη΄. Ἐποίησεν συμπεθερία ὁ δεσπότης Κάρλος καὶ ἐπῆρεν ὁ δεσπότης κὺρ Κωνσταντῖνος τὴν ἀνεψιὰν αὐτοῦ τὴν βασίλισσαν τὴν ἀκριβὴν καὶ ἔλαβεν προῖκα τὴν Γλαρέντζα καὶ ὅσον τόπον εἶχεν εἰς τὸν Μορέαν.

Τὸ αὐτὸ ἔτος ἀπέθανεν ὁ δεσπότης Κάρλος καὶ ἐπῆραν τὰ Ἰωάννινα οἱ Τοῦρκοι, ὁ Ἀμηρᾶς ὁ Ἀμουράτμπεης.

Τὸ αὐτὸ ἔτος ἐπῆρεν ὁ αὐτὸς Ἀμουράτμπεης τὴν Θεσσαλονίκην ἀπὲ τὰς χεῖρας τῶν Βενετίκων.

Τὸ αὐτὸ ἔτος Ἰουλίου ἔλαβεν ὁ δεσπότης κὺρ Κωνσταντῖνος τὸν γουλᾶ τῆς Παλαιᾶς Πάτρας ἀπὸ λιμὸν καὶ ἐποίησεν κεφαλὴν τὸν κὺρ Γεώργιον Φραντζῆ τὸν Φιαλίτην.

[,στϡ]να΄. Ἐπῆραν οἱ Κατελάνοι τὴν Γλαρέντζα καὶ ἐξαγόρασέ την ὁ δεσπότης κὺρ Κωνσταντῖνος καὶ ἐχάλασέ την.

Ἀπέθανεν ὁ αὐθέντης Ἀντώνι Τελατζιόλας, αὐθέντης Ἀθηνῶν καὶ Θήβας.

[,στϡ]νγ΄. Ἐσκοτώθη ὁ ῥῆγας τῆς Οὐγκρίας εἰς τὴν Βάρναν ἀπὸ τὸν μέγαν αὐθέντην Ἀμουράτμπεη.

[,στϡ]νε΄. Νοεμβρίῳ κ΄ ἦλθεν ὁ ἀμηρᾶς ὁ Ἀμουράτμπεης εἰς τὸ Ἑξαμίλι, καὶ ἦσαν οἱ δύο ἀδελφοὶ ὁ δεσπότης κὺρ Κωνσταντῖνος καὶ κὺρ Θωμᾶς καὶ ἐτζάκισέ τους Δεκεμβρίου εἰς τὰς ι΄ καὶ ἐχάλασεν καὶ ἦλθεν ἕως τὴν Πάτρα καὶ ἔκαψεν αὐτὴν καὶ ἐσκότωσεν καὶ πολλοὺς ἀνθρώπους μέσα εἰς τὰ κανονικά.

[,στϡ]νστ΄. Ἀπέθανεν ὁ δεσπότης κὺρ Θεόδωρος εἰς τὴν Σηλυμβρίαν καὶ ἤφεράν τον εἰς τὴν Πόλιν καὶ ἔθαψάν τον εἰς τὸν Παντοκράτορα.

Νοεμβρίῳ εἰς τὴν α΄η ἀπέθανεν ὁ δεσπότης κὺρ Ἰωάννης ὁ Παλαιολόγος καὶ ἐτάφη εἰς τὸν Παντοκράτορα. Εἶχεν τὴν βασιλείαν χρόνους κγ΄, μῆνας ι΄, ἡμέρας ιε΄· ἡ ζωή του ὅλη χρόνους νστ΄, μῆνας ι΄, ἡμέρας ιε΄.

Τὸ αὐτὸ ἔτος ἐδιέβη ὁ δεσπότης κὺρ Θωμᾶς εἰς τὴν Πόλιν, καὶ εἰς τὴν Καλλίπολιν ἔμαθεν τὸν θάνατον τοῦ βασιλέως. Ὁ δὲ δεσπότης κὺρ Δημήτριος ἐργάστη ἵνα ἁρπάξῃ

τὴν βασιλείαν, οἱ δὲ ἄρχοντες τῆς Πόλεως ἔστησαν βασιλέα τὸν κὺρ Κωνσταντῖνον καὶ εὐθὺς ἐξέβαλαν ἀπὲ τὴν Πόλιν κὺρ Ἀλέξιον Λάσκαριν τὸν Φιλανθρωπηνόν, ὁποῦ εὑρέθη εἰς τὴν Πόλιν μὲ τὸν δεσπότην τὸν κὺρ Θωμᾶν καὶ κὺρ Μανουὴλ Παλαιολόγον Γιάγαρην καὶ ἦλθαν εἰς τὸν Μιζηθρᾶν εἰς τὰς στ΄ τοῦ Ἰανουαρίου καὶ ἔστεψαν βασιλέα τὸν κὺρ Κωνσταντῖνον καὶ ἐδιέβη εἰς τὴν Πόλιν τὸ αὐτὸ ἔτος τὸν Αὔγουστον μῆνα.

[,στϡ]νη΄ Σεπτεβρίου εἰς τὴν πρώτη ἦλθαν οἱ δύο δεσπόταις, ὁ κὺρ Δημήτριος καὶ ὁ κὺρ Θωμᾶς εἰς τὸν Μορέα.

[,στϡ]νη΄ Σεπτεβρίου εἰς τὰς ι΄ ἀπέθανεν ὁ ἀμηρᾶς ὁ Ἀμουράτμπεης εἰς τὴν Ἀνδριανούπολιν.

Τὸ αὐτὸ ἔτος ἐγίνη αὐθέντης ὁ Μεχμέτμπεης ὁ μέγας ἀμηρᾶς.

[,στϡ]ξα΄. Ἐγεννήθη εἰς τὴν Παλαιὰν Πάτραν ὁ υἱὸς τοῦ δεσπότου κὺρ Θωμᾶ ὁ κὺρ Ἀνδρέας Ἰανουαρίου ιζ΄ τάχα καὶ διάδοχος τῶν δεσπότων, ὁποῦ ἦσαν εἰς τὸν Μορέαν.

Τὸ αὐτὸ ἔτος Ἀπριλίου δ΄ ἦλθεν εἰς τὴν Πόλιν ὁ μέγας αὐθέντης ὁ Μεχμέτμπεης καὶ ἀπέκλεισέ την διὰ ξηρᾶς καὶ διὰ θαλάσσης. Εἶχε δὲ φουσᾶτα τῆς στερεᾶς ἄνδρες χιλιάδες σ΄ καὶ ξύλα διὰ θαλάσσης μικρὰ μεγάλα υ΄. Ἡ δὲ Πόλις ὡς ἔμελλε |φ. 964 β| νὰ ἐπαρθῇ, εἶχεν μεγάλην ἐξέτασιν μὲ τὸ κατάστιχον ἄνδρες χιλιάδες δ΄ καὶ ἑπτακοσίους ογ΄, εἶχεν καὶ ξένους μὲ ὅλους σ΄. Καὶ εἰς τὰς κθ΄ τοῦ Μαΐου ἡμέρα γ΄$^{η}$ καὶ ὥρα α$^{η}$ τῆς ἡμέρας καὶ ἑορτὴ τῆς ἁγίας Θεοδοσίας ἐπῆρε τὴν Πόλιν ἀπὸ τὴν χαλάστραν τοῦ ἁγίου Ῥωμανοῦ καὶ ἐσκοτώθη ὁ ἅγιος καὶ μάρτυς βασιλεὺς κὺρ Κωνσταντῖνος ὁ Παλαιολόγος. Εἶχεν τὴν βασιλείαν τῆς Πόλεως χρόνους δ΄ μῆνας γ΄ ἡμέρας κ΄.

Οἵδε ἀπὸ τὸ γένος τῶν Παλαιολόγων ἦτον βασιλέως υἱοὶ(;) ὡς καθὼς ἔναι γεγραμμένοι κατ᾽ ὄνομα οἱ βασιλεῖς. α$^{ος}$ Ἀνδρόνικος Παλαιολόγος χρόνους ογ΄. β$^{ος}$ Μιχαὴλ Παλαιολόγος χρόνους οδ΄. γ$^{ος}$ Ἀνδρόνικος Παλαιολόγος χρόνους οδ΄. δ$^{ος}$ Ἀνδρόνικος Παλαιολόγος χρόνους οε΄. ε$^{ος}$ Μανουὴλ Παλαιολόγος χρόνους οζ΄. ζ$^{ος}$ Ὁ υἱὸς αὐτοῦ Ἰωάννης ὁ Παλαιολόγος χρόνους οη΄. η$^{ος}$ Ὁ ἀδελφὸς αὐτοῦ ὁ μακαρίτης καὶ μάρτυρας κὺρ Κωνσταντῖνος ὁ Παλαιολόγος τὸν χρόνον τῆς ζωῆς αὐτοῦ μθ΄ μῆνας ι΄ ἡμέρας ιε΄, ὁποῦ ἐσκοτώθη εἰς τὴν Πόλι μὲ τοὺς ἄρχοντας τοὺς μεγάλους καὶ ἐνδόξους· τὸ ὅποιον ἂν ἤθελεν θελήσει ὡς καθὼς τοῦ ἔλεγαν οἱ ἄρχοντες ἐγλύτωνεν· ἀμὴ ἀτός του ἐπροαιρέθη τὸν θάνατον καὶ ἐβάσταξε καὶ τοὺς ἄρχοντας καὶ ἀπέθαναν εἰς τὸ σπαθί τους, ὥσπερ ἄνδρες καὶ μάρτυρες, ὡσὰν Χριστιανοὶ ὁποῦ ἦσαν εἰς τὴν πατρίδα τους, εἰς τὴν Πόλι.

Εἶχαν τὴν βασιλείαν οἱ Παλαιολόγοι τῷ ὀγδόῳ προσώπῳ χρόνους ρϙδ΄ καὶ μῆνας ι΄ ἡμέρας ιε΄.

[,στϡ]ξγ΄. Ἐγένετο ἡ μάχη τοῦ Μορέως κατὰ τῶν δεσπότων κὺρ Δημητρίου καὶ κὺρ Θωμᾶ καὶ ἔποισαν οἱ Ἀλβανῖται ψευδοδεσπότην τὸν Κατακουζηνοῦ υἱόν, ὀνόματι Μανουήλ. Οἱ δὲ Τοῦρκοι εἴχασιν ἀγάπην μὲ τοὺς δεσπόταις τοῦ Μορέως καὶ ἦλθεν εἰς τὸν Μορέα ὁ Τουραχάμπεης καὶ ἐκούρσεψε καὶ ἠφάνισε τοὺς Ἀλβανίτας καὶ ἐξουρίστη καὶ ὁ ψευδοδεσπότης, ὁ υἱὸς τοῦ Κατακουζηνοῦ ὁ Μιχαήλ.

[,στϡ]ξστ΄. Μαΐῳ ιε΄ ἦλθεν ὁ μέγας αὐθέντης εἰς τὴν Κόρινθο καὶ ἀπέκλεισέ την· ἦτον δὲ ἀπέσω ὁ Ἀσάνης ὁ κὺρ Ματθαῖος καὶ ὁ Λουκάνης ὁ κὺρ Νικηφόρος καὶ ἐπαράδοσαν αὐτὴν τὸν μέγαν αὐθέντη Αὐγούστου εἰς τὰς στ΄ καὶ ἐζήτησεν καὶ τὸν δεσπότην κὺρ Θωμᾶν καὶ τὴν Πάτραν μὲ τὰ Καλάβρυτα καὶ ἕως τὸ Ῥιόλον καὶ ἔλαβε τὸν τόπον αὐτόν. Οἱ δὲ δύο ἀδελφοὶ οἱ Ῥαλλαῖοι, ὁ κὺρ Γεώργιος ὁ κὺρ Θωμᾶς εὑρισκόμενοι εἰς τὴν Γλαρέντζα εἰς τὸ μοναστήριον τὴν Βλαχέρεναν μὲ μερικοὺς στρατιῶτες ἐργάσιησαν καὶ ἐγίνετον ἀπιστία εἰς τὸν τόπον, ὅπερ εἶχαν οἱ Τοῦρκοι, ἤγουν τὴν Πάτρα καὶ τὰ Καλάβρυτα, καὶ εἰς τοὺς ἐπίλοιπους τόπους καὶ χωρία τὰ εἶχαν οἱ Τοῦρκοι καὶ ἐσκότωσαν καὶ ἀπ᾿ αὐτούς. Ὁ δὲ μέγας αὐθέντης μαθὼν τὸ γενόμενον οἰκονομήθη τὸν Μάϊον μῆναν καὶ ἦλθεν εἰς τὸν Μορέα καὶ εὐθὺς ἐδιέβη εἰς τὸν Μιζυθρᾶν καὶ ἐπαραδόθη ὁ δεσπότης ὁ κὺρ Δημήτριος μὲ τὴν βασίλισσαν καὶ τὴν θυγατέραν αὐτοῦ |φ. 965 α| καὶ ἔλαβεν ὅλον τὸν Μορέαν πάρεξ τὴν Μονοβασίαν, τὴν ὅπερ ἐβάστα κὺρ Μανουὴλ ὁ Παλαιολόγος διὰ ὄνομα τοῦ δεσπότου τοῦ κὺρ Θωμᾶ. Ὁ γὰρ δεσπότης ὁ κὺρ Θωμᾶς εὑρέθη εἰς τὴν Μαντίνειαν καὶ ηὗρεν καράβιν καὶ ἐσέβη καὶ ἐδιέβη εἰς τὸν Ἀβαρῖνον εἰς τὸ Πόρτο Λόγκο καὶ ἀπεκεῖ ἐσηκώθη καὶ ἦλθεν εἰς τοὺς Κορυφοὺς μὲ τὴν βασίλισσαν καὶ μὲ τοὺς δύο υἱοὺς αὐτοῦ καὶ αὐθεντόπουλη τὴν θυγατέραν αὐτοῦ.

[,στϡ]ο΄. Αὐγούστου στ΄ ἡ βασίλισσα τοῦ δεσπότου τοῦ κὺρ Θωμᾶ εἰς τοὺς Κορυφοὺς ἀπέθανεν καὶ ἔθαψάν την ἔξω τῶν Κορυφῶν εἰς τὸ μοναστήριον τῶν ἁγίων Ἀποστόλων Ἰάσονος καὶ Σωσιπάτρου.

Τὸ αὐτὸ ἔτος ἐπῆρεν ὁ μέγας αὐθέντης τὴν Τραπεζῶντα καὶ ὅλην τὴν περιοχὴν αὐτῆς καὶ ἐπῆρε καὶ τὸν βασιλέα.

[,στϡ]οα΄. Ἐπιλάλησεν ὁ Ἀμάρμπεης τὴν Ναύπακτον καὶ ἔκαψε καὶ τὸν Γαλατᾶν καὶ ἐγίνετον ἡ μάχη τῶν Βενετίκων.

[,στϡ]οβ΄. Ἔλαβαν οἱ Βενετίκοι τὴν Μονοβασίαν ἀπὲ τὴν κεφαλήν, τὴν ὅπερ ἐβάστα κὺρ Μανουὴλ ὁ Παλαιολόγος.

[,στϡ]ογ΄. Μαΐου ιβ΄ ἀπέθανεν ὁ δεσπότης κὺρ Θωμᾶς εἰς τὴν Ῥώμην· οἱ δὲ, τὰ παιδία αὐτοῦ ὁ κὺρ Ἀνδρέας καὶ ὁ κὺρ Μανουὴλ καὶ ἡ ἀδελφὴ αὐτοῦ ἡ αὐθεντοπούλα, ἐρχόμενοι εἰς τὴν Ρώμην ἔμαθαν τὸν θάνατον τοῦ πατρὸς αὐτῶν εἰς τὴν Ἀγκῶνα. Ὁ δὲ πάπας ἀπέστειλεν καὶ ἤφεράν τους εἰς τὴν Ῥώμην καὶ ἐτίμησεν τὸν κὺρ Ἀνδρέα τὸν δεσπότην καὶ ἔδιδέ του καὶ τὴν πρέπουσα ζωήν.

[,στϡ]οε΄. Αὐγούστου θ΄ ἡμέρᾳ Κυριακῇ ἦλθεν ὁ μισὲρ Βετοὺρ Καπέλος μὲ τὴν ἀρμάταν εἰς τὴν Πάτρα καὶ τὴν Δευτέρα ἐσκοτώθη ὁ Ῥάλλης ὁ κὺρ Μιχαὴλ εἰς τὰς ι΄ τοῦ Αὐγούστου καὶ εἰς τὰς ιε΄ τοῦ αὐτοῦ μηνὸς ἐγίνετον καθολικὸς τζακισμὸς τῶν Βενετίκων τῷ Σαββάτῳ τὸ μεσημέρι καὶ εἰς τὰς ιστ΄ τοῦ αὐτοῦ μηνὸς ἐσηκώθη ἡ ἀρμάτα ἀπὸ τὴν Πάτρα Κυριακὴ τὸ πουρνὸ καὶ ἐμίσεψεν.

Ἐσκοτώθησαν ἀπὸ τοὺς Βενετίκους ἄνθρωποι ἑπτακόσιοι.

[,στϡ]οη΄. Ἰουλίου ιβ΄ ἐπῆρεν ὁ μέγας αὐθέντης τὴν Εὔριπον καὶ ἔστειλεν τὸν

μπασιᾶ εἰς τὸν Μορέα καὶ ἐπῆρε τὴν Βοστίτζα ἀπὲ τοὺς Βενετίκους καὶ ἐχάλασάν την.

[,στϡ]οθ΄. Ἀπέθανεν ὁ δεσπότης κὺρ Δημήτριος εἰς τὴν Ἀνδριανούπολιν καὶ ἐγίνετον καλόγερος ὀνομασθεὶς Δαυίδ.

Τὸν αὐτὸν χρόνον ἀπέθανε καὶ ἡ θυγατέρα του καὶ τὸν αὐτὸν ἀπέθανεν καὶ ἡ βασίλισσα τοῦ δεσπότου τοῦ κὺρ Δημητρίου.

[,στϡ]πβ΄. Νοεμβρίῳ ζ΄ ἀπέθανεν καὶ ἡ βασίλισσα κυρὰ Ἑλένη Παλαιολογῖνα, θυγάτηρ δεσπότου κὺρ Θωμᾶ καλογραῖα καὶ ἐπωνομάσθη Ὑπομονὴ μοναχή.

[,στϡ]πγ΄. Ἐπῆρεν ὁ ἀμηρᾶς τὸν Καφᾶ.

[,στϡ]πθ΄. Ἀπέθανεν ὁ ἀμηρᾶς ὁ Μεχμέτμπεης ὁποῦ ἐπῆρε τὴν Πόλιν μηνὶ Μαΐῳ γ΄ καὶ εἰς τὰς θ΄ τοῦ αὐτοῦ μηνὸς ἐπαράλαβε τὴν αὐθεντίαν ὁ υἱὸς αὐτοῦ ὁ Μπαζαὴτ σουλτάνος.

[,στϡ]ϟθ΄. Ἐτζάκισαν ταῖς καμπάναις εἰς τὸ Ἅγιον Ὄρος μηνὶ Αὐγούστου.

Τὸ αὐτὸ ἔτος ἐπῆρεν ὁ ῥὲ ντὲ Καστέλης τὴν Γρανάταν· εἶχεν δὲ αὐτὴν ἀπεκλεισμένην χρόνους ιβ΄. Ἔλαβεν αὐτὴν Γεναρίου εἰς τὴν πρώτη.

|φ. 965 β|. ζ΄. Ἦλθεν ὁ μέγας αὐθέντης ὁ Μπαζαὴτ σουλτάνος καὶ ἐκούρσεψεν καὶ ἐχάλασεν τὴν Ἀλβανιτίαν καὶ ᾐχμαλώτευσεν αὐτὴν πολλά.

,ζη΄. Μηνὶ Αὐγούστῳ ἦλθεν ὁ αὐτὸς ἀμηρᾶς καὶ ἐπῆρε τὴν Ναύπακτον καὶ τὸν Σεπτέμβριον μῆναν ὥρισεν καὶ ἔκτισαν τὰ δύο νεόκαστρα εἰς τὸ Στενὸν καὶ ἐξεχείμασεν καὶ ἡ ἀρμάτα μέσα εἰς τὸν κόρφον εἰς τ' Ἄσπρα Σπίτια. Καὶ τὸν Ἰούνιον μῆναν τὴν ἔβγαλεν ἔξω καὶ ἐδιάβασέ την εἰς τὴν Μοθώνην καὶ ἀπέκλεισεν αὐτὴν διὰ ξηρᾶς καὶ θαλάσσης ἡμέρας ν΄.

,ζθ΄. Καὶ εἰς τὰς η΄ τοῦ Αὐγούστου ἡμέρᾳ Κυριακῇ ὥρᾳ ἑσπερινοῦ ἤλθασιν τὰ τέσσαρα κάτεργα τὰ βενέτικα καὶ ἐδώσασιν μέσα εἰς τὴν ἀρμάτα τὴν τούρκικη καὶ ἀπεράσασιν καὶ ἐδιάβησαν καὶ ἐσέβησαν μέσα εἰς τὸν λιμένα τῆς Μοθώνης τάχα διὰ νὰ δώσουν βοήθειαν καὶ τὴν αὐτὴν ὥραν ἐσέβησαν οἱ ἀζάπηδες καὶ ἐπήρασιν αὐτὴν ἀπὸ σπαθίου· ἦτον δὲ ἡ αἰτία τοιαύτη ὡς ἐμάθαμεν, ὅτι ἰδόντες οἱ ἄνθρωποι τοῦ κάστρου τὰ κάτεργα μὲ τὴν βοήθειαν ὁποῦ τοὺς ἦλθεν ἐχάρησαν καὶ ἐδράμασιν ἅπαντες νὰ τοὺς χαιρετίσουν καὶ ἄφησαν τὰ τείχη μοναχὰ καὶ ηὕρασιν ἄδεια οἱ ἀζάπηδες καὶ ἐσέβησαν μέσα· ἄναψε δὲ καὶ ἐκάη τὸ πλεότερον μέρος τοῦ κάστρου.

Καὶ μετὰ ταῦτα ἐπροσκύνησεν καὶ ἡ Κορώνη τὸν αὐτὸν μῆναν.

,ζθ΄. Ἐξέβη ὁ Σοφῆς ἐκ τὴν Περσίαν καὶ ἐπολέμησεν τοὺς Τουρκομάνους ἤγουν τοῦ Ζοῦ Χασάνη τὸν τόπον. Καὶ εἰς τοὺς ,ζιβ΄ τοὺς ἐχάλασε παντελῶς καὶ ἐδούλωσε καὶ τὴν Περσίαν ὅλην καὶ ἐδιέβη ἕως τὴν Πακοῦ, ἤγουν τὴν θάλασσαν τὴν Κασπίαν.

,ζιη΄. Ἔγινεν ὁ μέγας σεισμὸς ὁποῦ ἐχάλασεν ἡ Πόλις ἐν μηνὶ Σεπτεμβρίῳ.

,ζκ΄. Μηνὶ Ἀπριλίῳ κδ΄ ἐγίνη αὐθέντης ὁ Σελὶμ σουλτάνος ἡμέρᾳ Πέμπτῃ καὶ τὸν Μάϊον μῆναν ἀπέθανεν ὁ πατέρας του Μπαζαὴτ σουλτάνος ἔξω ἀπὲ τὴν Πόλιν.

---

13 κῶδ.: Σφράντζη 31: ἀπετὴν 32: μετὸν 46: μεόλους 50: βασιλεὺς υἱὸς

64 : δὲ οἱ Τοῦρκοι 72 : μεμερικοὺς 80 : Μεντίνοιαν 82 : μετοὺς 111 : Καφθ ; 116 : ὀρέντε 116 : Γρανέταν 135 : Ζουχασάνι 139 : ἀπετήν.

## 10

Κῶδ. 710 τῆς μονῆς τῶν Ἰβήρων φ. 143 α.

Ἀρχὴ τῶν βασιλέων Τουρκῶν, ἀφ' οὗ ἦρξαν :

αος Ὁ σουλτὰν Ὀσουμὰν γαζῆς ἐκάθισε βασιλεὺς εἰς τοὺς χμα΄ χρόνους, ἐκράτησεν ὁ ἄνωθεν βασιλεὺς χρόνους ξ΄.

βος Ὁ σουλτὰν Ὀρχάν, παιδὶ τοῦ ἄνωθεν, ἐβασίλευσεν εἰς τοὺς ψα΄, ἐκράτησε χρόνους κθ΄.

γος Ὁ σουλτὰν Μουράτης ἐστάθη εἰς τοὺς ψλ΄, ἐκράτησε χρόνους ξ΄.

δος Ὁ σουλτὰν Γηλτηρήμ Μπαγιαζήτι χὰν εἰς τοὺς ψϟα, ἐκράτησε χρόνους ιγ΄.

εος Ὁ σουλτὰν Τζελεπῆ Μεγμέτης ἐκάθησεν εἰς ωδ΄, τὸ ἐκράτησε χρόνους κ΄.

στος Ὁ σουλτὰν Μουράτης ἐκάθησε εἰς τοὺς ωκδ΄ ἐκράτησε χρόνους λα΄.

ζος Ἄλλος σουλτὰν Μεγμέτης· ὁ αὐτὸς ἐκυρίευσε τὴν Κωνσταντινούπολιν εἰς τοὺς ωνε· ἐκράτησε χρόνους λα΄.

ηος Σουλτὰν Μπαγιαζήτης, ὁποῦ ἔφθειασε τὸ τζαμὶ εἰς τὴν Πόλιν· ὁ αὐτὸς ἐπῆρε τὸν Ναύπακτον καὶ Μορέαν, ἐστάθη βασιλεὺς εἰς τοὺς ωπστ΄, ἐκράτησε χρόνους λβ΄.

θος Γιαβοὺ σουλτὰν Σελὴμ, ὁποῦ ἐπῆρε τὸ Μισήρι· ἐβασίλευσε εἰς τοὺς ϡιη΄, ἐκράτησε χρόνους η΄.

ιος Ὁ σουλτὰν Σουλεημάνης, ὁποῦ ἔκαμε καὶ τοῦ Σουλεημανιὲ τὸ τζαμὶ εἰς τὴν Πόλιν· ἐβασίλευσε εἰς τοὺς ϡκστ΄, τὸ ἐκράτησε χρόνους μη΄.

ιαος Ὁ σουλτὰν Σελήμης εἰς τοὺς ϡοδ΄ ἐκράτησε χρόνους η΄.

ιβος Ὁ σουλτὰν Μουράτης, ὅστις ἐπῆρε τὸ Μπαγτάτι· ἐβασίλευσε οὗτος εἰς τοὺς ϡπβ, τὸ ἐκράτησε χρόνους κα΄.

ιγος Ἄλλος σουλτὰν Μεγμέτης· ἐβασίλευσε καὶ οὗτος εἰς τοὺς ϡγ΄, τὸ ἐκράτησε χρόνους θα·

ιδος Ὁ σουλτὰν Ἀχμέτης, ὁ ὁποῖος ἔκτισε τὸ σουλτὰν - Ἀχμέτη τὸ τζαμὶ εἰς τὴν Πόλιν· ἐβασίλευσεν εἰς τοὺς ϡιβ΄, τὸ ἐκράτησεν χρόνους κα΄·

ιεος Ὁ σουλτὰν Μουσταφᾶς ἐβασίλευσεν εἰς τοὺς ,ακστ΄.

ιστος Ὁ σουλτὰν Ὀσμὰν |φ. 144 α| ἐβασίλευσεν εἰς τοὺς ,ακθ΄, ἐστάθη χρόνους ιγ΄.

ιζος Ὁ σουλτὰν Μουσταφᾶς ἐβασίλευσεν εἰς τοὺς ,αλγ΄, ἐστάθη χρόνους βα.

ιηος Ἄλλος σουλτὰν Μουράτης γαζῆς ἐβασίλευσεν εἰς τοὺς ,αλδ΄, ἐστάθη χρόνους δ΄.

ιθος Σουλτὰν Ἰπραὴμ γαζῆ ἐβασίλευσεν εἰς τοὺς ,ανα΄, ἐστάθη χρόνους θα.

κος Ἄλλος σουλτὰν Μεγμέτης ἐβασίλευσεν εἰς τοὺς ,ανη΄, ἐστάθη χρόνους μ.

καος Ὁ σουλτὰν Σουλεημάνης ἐβασίλευσεν εἰς τοὺς αϟθα ἐκράτησε χρόνους γ.

κβος Ἄλλος σουλτὰν Ἀχμέτης ὁ θεῖος τούτου, ἐβασίλευσεν εἰς τοὺς ,αρβ΄ω ἐκράτησε χρόνους ζ΄.

κγος Ἄλλος σουλτὰν Μουσταφᾶς ἐβασίλευσεν εἰς τοὺς ,αρστ΄, τὸ ἐκράτησε χρόνους η΄.

κδος Σουλτὰν ᾿Αχμέτης ἐβασίλευσεν εἰς τοὺς ,αριε΄ καὶ τὸ κρατεῖ ἕως τώρα· αὐτοὶ εἶναι οἱ βασιλεῖς τῶν Τουρκῶν ὁποῦ ἐβασίλευσαν ἕως τὴν σήμερον· ἀκόμη εἶναι καὶ βεζυράδες ἀπὸ τοῦτον ἕως μὲ ἐτοῦτον ὁ ⟨ποῦ;⟩ εἶναι τώρα σκδ΄ (χειρὶ ἑτέρᾳ: οὗτος δὲ ἦν ὁ Τζόρτζης).

κεος Ὁ καλαϊλὴς κατὰ τοὺς ἐδικούς μας: ,αψι΄ ᾿Ιουνίου γ΄, ἐχαλάσθη ὁ ᾿Αληπασιᾶς βεζύρης ὁ ἐκ τῆς Τυρουλόης καὶ ἔγινεν ὁ Οὐμὰν (;) πασιᾶς, Κυπρουλῆς, βασιλεύοντος τοῦ σουλτὰν ᾿Αχμέτ: ἐκάθησεν ἡμέραις ξβ΄ καὶ μετ᾿ αὐτὸν ἔγινεν ὁ μπαλτατζῆς Μεχμὲτ πασιᾶς, ὁ ὁποῖος ἦτον βεζύρης πρὸ τοῦ Τζόρλου καὶ πάλιν εἰσήχθη· καὶ πρὸ τούτου ἦτον ὁ Νταμάτης.

,αψιβ΄ μετὰ τὸ γύρισμα τοῦ σεφερίου ἀπὸ τοὺς Μοσχόβους ἔγινεν ὁ ᾿Ισοὺφ πασιᾶς Γενιτζὰρ ἀγᾶς δέκα μ(ῆνας).

|φ. 144 β| ,αψιβ΄ Νοεμβρίῳ αη ἡμέρα Σαββάτῳ ἐξώσθη ὁ ᾿Ισοὺφ πασιᾶς, καὶ ἔγινεν ἐπίτροπος ὁ Σουλεημὰν πασιᾶς νισαντζῆς τῇ αὐτῇ ἡμέρᾳ καὶ ὥρᾳ τοῦ μηνός· μετ᾿ αὐτὸν ἐξώσθη καὶ ἔγινεν ὁ μουλᾶ ᾿Ιπραήμης, καὶ ἐθανατώθη αὐτὸς ὀλίγων ἡμερῶν ὑπὸ τοῦ ἄνακτος· μετὰ τὸν μουλᾶν ἔγινεν ὁ ᾿Αλὴ πασιᾶς γαμβρὸς τοῦ ἄνακτος σουλτὰν ᾿Αχμέτη, ,αψιγ΄ ὄντος μου ἐν ᾿Αδριανοῦ.

Νοεμβρίω ιαη ἔγινεν αὖθις ὁ Κυπριανὸς πατριάρχης ἐξωσθέντος τοῦ Κυρίλλου, καὶ διὰ τὴν φιλάργυρον αὐτοῦ γνώμην εἰσήχθη ὁ τρὶς ἐπίσκοπος Κοσμᾶς ὄντος μου ἐν Κωνσταντίνου πόλει.

αψιδω μηνὶ Μαρτίῳ, ἐξωσθέντος δὲ τοῦ ἀκόσμου Κοσμᾶ εἰς ,αψιστ΄ μαρτίου κβα εἰσήχθη ὁ ἐκ Καισαρείας κὺρ Ἱερεμίας.

Κατὰ τὸ ,αψιστ΄ ἔτος μετὰ τὴν νίκην ὁποῦ ἔκαμαν οἱ Γερμανοὶ καὶ ἐθανατώθη ὁ ᾿Αληπασιᾶς εἰς τὸ Βαρατίνη, ἔγινε βεζύρης ὁ Χαλὴλ πασιᾶς, μποσταντίμπασης τὸ πρῶτον ὤν.

Κατὰ τοὺς ,αψιζ΄ ἡττηθεὶς παρὰ τῶν Γερμανῶν καὶ παρὰ τοῦ Εὐγενίου, τοῦ ἀφῃρέθη ἡ ἐξουσία καὶ Θεσσαλίᾳ κλεισθεὶς φυγὰς ᾤχετο, ἔγινε δ᾿ ἀντ᾿αυτοῦ ὁ Μεεμέτης ἐνῷ καιρῷ καὶ τὸ Πελιγράδιον ἑάλω: (χειρὶ ἑτέρᾳ: Οὗτος πρότερον νισαντζῆς ἦν ἐκ Καισαρείας ἕλκων ἐν ταῖς ἡμέραις αὐτοῦ καὶ ἡμεῖς ἐν ᾿Αδριανοῦ μετὰ τοῦ Πατριάρχου Ἱερεμίου καὶ ἁπάσης τῆς συνόδου Δεκεμβρίῳ γ΄ εἰσήλθομεν).

῎Ετος ἀπὸ Χριστοῦ ,ατνδ΄ ἀπέρασαν οἱ Τοῦρκοι εἰς τὴν Δύσιν.

,ατξε΄ ἐπῆραν τὴν Καλλιούπολιν.

῎Ετος ἀπὸ ᾿Αδὰμ ,στϡλε΄ Μαΐου κδ΄ ἐπῆραν τὴν Θεσσαλονίκην:

῎Ετος ἀπὸ Χριστοῦ ,αυνγ΄ Μαΐου κθα βασιλεύοντος Κωνσταντίνου τοῦ Παλαιολόγου παρεδόθη ἡ Κωνσταντινούπολις τοῖς ᾿Ισμαηλίταις, ἤτοι τοῦ αὐθεντὸς σουλτὰν Μεεχμέτη παρὰ Θεοῦ ἕνεκεν τῶν ἁμαρτιῶν ἡμῶν· ἐδυνάστευσε γοῦν τὴν Κωνσταντινούπολιν χρόνους κη΄ μετὰ γοῦν ταύτης ἐδούλωσε πολλὰς πόλεις καὶ χώρας.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

|φ. 145 α|. Εἰς τοὺς ,αυνζ΄ ἐπῆρεν ὁ μέγας αὐθέντης τὴν Κόρινθον, τὴν Πάτραν, τὸ Μουχλὶ καὶ τὴν Καστελιανίαν.

Ἀπὸ Ἀδάμ, ,στϡξδ΄ μηνὶ Ἰουνίῳ παρεδόθησαν αἱ Ἀθῆναι.

Ἀπὸ Χριστοῦ ,αυξ΄ ἦλθεν ὁ μέγας αὐθέντης εἰς τὸν Μιζηθρὰν καὶ ἔλαβεν αὐτόν.

Ἀπὸ Ἀδὰμ ,στϡοα΄ μηνὶ Ἀπριλίῳ παρέδωκαν οἱ Ἀργεῖοι τὸ Ἄργος εἰς χεῖρας τῶν Ὀτμανῶν.

Ἀπὸ Χριστοῦ ,αυο΄ Ἰουλίῳ β$^{α}$ παρεδόθη ἡ Εὔριπος.

Ἀπὸ Ἀδὰμ ,στϡπθ΄ Μαΐῳ γ$^{η}$ ἀπέθανεν ὁ σουλτὰν Μεχμέτης, καὶ τῇ ιθ$^{η}$ τοῦ αὐτοῦ μηνὸς ἦλθεν ὁ υἱὸς αὐτοῦ σουλτὰν Μπαγιαζήτης εἰς τὴν Πόλιν καὶ ἔλαβε τὴν βασιλείαν.

Ἀπὸ Ἀδὰμ ,ζζ΄ Αὐγούστῳ κθ$^{α}$ ἁλώθη ἡ Ναύπακτος.

Ἀπὸ Ἀδὰμ ,ζη΄ Αὐγούστῳ κθ$^{α}$ ἐπάρθη ἡ Μοθώνη.

Τῷ αὐτῷ ἔτει Σεπτεβρίῳ ζ$^{η}$ ἐπροσκύνησαν οἱ Κορωναῖοι τὸν μέγαν αὐθέντην καὶ παρεδόθη τὸ κάστρον εἰς χεῖρας αὐτοῦ.

Ἀπὸ Ἀδὰμ ,ζιβ΄ Ἀπριλίῳ κστ$^{η}$ ἐδιώχθη ὁ σουλτὰν Μπαγιαζίτης ὑπὸ τοῦ υἱοῦ αὐτοῦ σουλτὰν Σελήμη, ὅστις ἀναδεξάμενος τὰ τῆς βασιλείας σκῆπτρα, εὐθὺς κατὰ Περσῶν στρατεύει· τροπώσας γοῦν τουτουσὶ ἐπὶ τὴν Κωνσταντίνου ἐπαναλύει.

Ἀπὸ Ἀδὰμ ,ζκθ΄ Σεπτεμβρίῳ κστ΄ ἀπέθανεν ὁ προλεχθεὶς σουλτὰν Σελήμης ἤρξας ἔτη ιθ$^{α}$, ἀνεδέξατο δὲ τὴν ἀρχὴν ὁ τούτου υἱὸς σουλτὰν Σουλεϊμάνης, καὶ ἐκάθισεν εἰς τὸν θρόνον τῆς βασιλείας εἰς τὴν Ἀνδριανούπολιν, ἦτον δὲ χρονῶν κγ$^{ῶν}$.

Ἀπὸ Ἀδάμ, ,ζλ$^{α}$΄ Ἰουνίῳ ἐν μηνὶ ὁ σουλτὰν Σουλεϊμάνης ἤθροισεν στράτευμα ἱππικὸν καὶ πεζὸν ἑκατὸν χιλιάδας, κ᾿ ἐξεστράτευσε κατὰ Οὐγγρῶν |φ. 145 β|, καὶ πολεμήσας τὸ Μπελιγράδιον, καὶ λαβὼν αὐτὸ Αὐγούστῳ β$^{α}$ ἐπανέκαμψε εἰς Ἀδριανοῦ.

Ἀπὸ Χριστοῦ ,αφκβ΄ ἐποίησεν ὁ σουλτὰν Σουλεϊμάνης φουσάτον διὰ ξηρᾶς καὶ θαλάττας χιλιάδας σ΄, καὶ ἅρμενα μικρὰ καὶ μεγάλα σ΄, καὶ ἐπολέμησε τὴν Ρόδον, καὶ τῇ εἰκοστῇ ε$^{η}$ Δεκεμβρίου παρεδόθη εἰς χεῖρας αὐτοῦ, καὶ ἔδωσε θέλημα καὶ εὐγῆκεν ὅστις ἐβούλετον.

Ἀπὸ Χριστοῦ ,αφμ$^{α}$΄ Νοεμβρίου κα$^{η}$ ἡμέρᾳ Κυριακῇ ἔλαβεν ὁ Κασίμπασιας τὸ Ἀνάπλιον ἀπὸ τοὺς Βενετίκους μετὰ συμφωνιῶν, καὶ οὕτως ἐγένετο ἡ ἀγάπη.

Τῷ αὐτῷ ἔτει καὶ μηνὶ τῷ αὐτῷ κδ$^{η}$ ἔλαβε καὶ τὴν Μονεμβασία ὑπὸ τῶν αὐτῶν Βενετίκων·

Αὖθις ,αψιε$^{ω}$΄ μηνὶ Αὐγούστῳ ἐπῆραν τὴν Πελοπόννησον καὶ τὸ Ἀνάπλι ἀπὸ αὐτοὺς οἱ Ὀτμάνοι.

|φ. 146 α| (ἑτέρᾳ χειρί:) Τοῦτο τὸ σημεῖον εὑρήσεις γυρίζοντας τὸ ἔμπροσθεν φύλλον ἐξ οὗ ἀνέχεται ὁ κατάλογος τῶν ἐπιτρόπων τῆς βασιλείας.

,αψιε$^{ω}$΄ Ἀπριλίῳ 28 ἐν Ἀδριανουπόλει τοῦ ἐκ νισαντζῆ Μεεμὲτ πασιᾶ ἐξωσθέντος ὑπὸ τοῦ ἄνακτος ἔλαβεν τὴν βούλλαν ὁ ρεκέπης Ἰμπραὴμ πασιᾶς γαμβρὸς τοῦ ἄνακτος: συναριθμῶνται βεζύρηδες ὡς οἶμαι ἕως ὧδε 234.

2. κῶδ. : ὁ Σουμᾶν    47 : ἐκ Ἀδριανοῦ.

## 11

Κῶδ. Κουτλουμουσίου 193 φ. 154 α.

† Μηνὶ Μαρτίῳ κθ΄ τοῦ ,στϡλη΄ ἔτους ἰνδ. η΄ ἡμέρᾳ Σαββάτῳ ἐπαρέλαβεν ὁ ἀσεβὴς Μοράτης τὴν Θεσσαλονίκην καὶ ἐποῖκέ την διαγομᾶν.

† Μηνὶ Ἰανουαρίῳ λα΄ ἐκάγηκεν ὁ περίφημος ναὸς τῆς Βλαχέρνας τοῦ ,στϡμβ΄ ἔτους ἰνδ. ιβ΄.

† Μηνὶ Νοεμβρίῳ κζ΄ ἐξῆλθεν ὁ βασιλεὺς Ἰωάννης καὶ ὁ πατριάρχης Ἰωσὴφ ἀπῆλθον πρὸς τὴν Ρώμην τοῦ ,στϡμστ΄ ἔτους ἰνδ. α΄.

† Μηνὶ Μαΐῳ κθ΄ τοῦ ,στϡξα΄ ἰνδ. α΄ ἐπαρέλαβον οἱ Τοῦρκοι τὴν Κωνσταντινούπολιν καὶ ἐποῖκαν την διαγομᾶν καθ᾽ ὅτι ἐφράγκισαν καὶ ἐπαρέδωκέν τους ὁ Θεὸς διὰ τὴν παρανομίαν.

† Μηνὶ Ἰανουαρίῳ α΄ ὥρᾳ στη τῆς ἡμέρας γέγονεν ἔκλειψις ὁλόσωμος τοῦ ἡλίου, ὥστε καὶ τὰ ἄστρα ἐφάνησαν τοῦ ,στωϟδ΄ ἔτους.

† Οὔγγεσις ὁ Σέρβος ἐκατελήφθη τοῦ ,στωοθ΄ ἔτους.

† Μηνὶ Ἰουνίῳ ιζ΄ ὥρᾳ θ΄ τῆς ἡμέρας γέγονεν ἔκλειψις ὁλόσωμος τοῦ ἡλίου, ὥστε καὶ τὰ ἄστρα ἐφάνησαν τοῦ ,στϡμα΄ ἔτους.

† Ἀπὸ τῆς Εὐρίπου τὴν ἀνάλωσιν ,στϡοη΄ μηνὶ Ἰουλίῳ ιζ΄ ἡμέρα α΄.

† Τὸ Ἑξαμίλιον ,στϡνε΄.

† Ἀπὸ τὸν ἐπαρμὸν τῶν Ἰωαννίνων ,στϡλθ΄.

† ,ζη΄ ἐπάρθη ἡ Μοθώνη Αὐγούστου ιε΄.

† Ἀπὸ ταῖς καμπάναις τοῦ ἁγίου Ὄρους ,στϡϟθ΄ Αὐγούστου μηνός.

† Ἀπὸ τοῦ Κουνούχη τὸ κτίσιμον ,στϡοε΄.

† Ἐκάηκεν ἡ μονὴ τοῦ Διονυσίου μηνὶ Ὀκτωβρίου κε΄ τοῦ ,ζμα΄ ἔτους.

## 12

Κῶδ. μονῆς Κουτλουμουσίου 220 φ. 159 β.

Κωνσταντῖνος ὁ αὐτάδελφος αὐτοῦ εἰς τοῦ ὁποίου τὸν καιρὸν αἰχμαλωτίσθη ἡ Κωνσταντινούπολις παρὰ τοῦ βασιλέως σουλτὰν Μεεμὲτ ἐν ἔτει ,αυνγ΄ Μαΐου κθ΄ ἡμέρα γ΄ ἰνδ. αης.

Ἐν ἔτει ,αυνδ΄ ἐπῆγε ὁ βασιλεὺς σουλτὰν Μεεμέτης καὶ ἐπῆρε τὴν Αἶνον, ἔπειτα ταῖς Ἀθήναις, ταῖς Θήβαις, τὴν Θάσον, τὴν Σαμοθράκην καὶ τὸ Ἄργος.

Ἐν ἔτει ,αυνστ΄ ἐγένετο λεῖψις καὶ ὑστέρησις παντοίων καρπῶν καὶ ἐπείνασεν ὁ λαός, ἤσθιον δὲ βοτάνων χλόας ῥίζας καὶ ἐστενοχωρέθη πᾶς ἄνθρωπος ἀπὸ τῆς πείνας. Ἐπουλήθη τὸ πεντάλιτρον τὸ σιτάρι ὑπέρπυρα λ΄ διὰ φλουρία Γ΄ ϟ΄΄ καὶ οὐχ εὑρίσκετον.

,αυνζ΄ ἐπῆγεν ὁ σουλτὰν Μεεμέτης εἰς τὸν Μορέα μὲ φουσάτο χιλιάδες ξ΄ καὶ μὴ δυνάμενοι πολεμήσειν οἱ δύο δεσπόται, ὁ κὺρ Δημήτριος καὶ ὁ κὺρ Θωμᾶς, οἱ αὐτάδελφοι

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Κωνσταντίνου βασιλέως ἔστερξαν νὰ δίδουν χαράτζι κάθε χρόνον δύο χιλιάδες φλουρία καὶ τὸν τόπον ὅπου ἐπάτησε τὸ ἄλογόν του, τὰ Καλάβρυτα, τὴν Πάτρα καὶ ἄλλα κάστρη.

Ἐν ἔτει ͵αυξα΄ ἔγραψε ὁ δεσπότης Δημήτριος τοῦ βασιλέως σουλτὰν Μεεμέτ ὅτι δὲν συβάζουνται μὲ τὸν κὺρ Θωμᾶ τὸν ἀδελφόν του νὰ ἔχουν τὸν Μορέα καὶ πῶς τὸ χαράτζι ὁποῦ ὑποσχέθησαν, δὲν τοῦ τὸ δίδουν καὶ ἦλθεν ὁ βασιλεὺς καὶ ἐπαράλαβε τὸν Μιζηθρᾶ καὶ ὅλον τὸν Μορέα, ἐπῆρε καὶ τὸν δεσπότην κὺρ Δημήτριον σὺν τῇ βασιλίσσῃ καὶ τῇ θυγατρὶ αὐτῶν Μαΐου λ΄.

͵αυξα΄ ἐπῆρε καὶ τὸ νησὶ τῆς Μιτυλήνης, ταῖς δύο χῶρες ὁποῦ λέγουνται Φώκιες, τὴν παλαιὰν καὶ τὴν νέαν, ἔπειτα ἐπῆγε καὶ ἔλαβε τὴν Κασταμένα(;) ἔπειτα τὴν Ἄμαστριν καὶ τὸν Καφᾶν.

|φ. 160 α| ͵αυο΄ ἔκαμεν μάχη μὲ τοὺς Βενετίκους ὁ σουλτὰν Μεεμέτης καὶ ἐπῆγε μὲ μεγάλην δύναμιν διὰ ξηρᾶς καὶ διὰ θαλάσσης εἰς τὴν Εὔριπον καὶ ἐπολέμησε ἡμέρα καὶ νύκτα ἀπὸ τῆς ιβ΄ τοῦ Ἰουνίου ἕως τῆς ιβ΄ τοῦ Ἰουλίου καὶ εἰς τὰς ιβ΄ τοῦ Ἰουλίου ἡμέρα ε΄ τὴν ἐπερίλαβεν μὲ μάχη πολλὴ καὶ ἰσχυρὰ αἱματοχυσία· ἀπέθανε πλῆθος ἄπειρον ἀμφοτέρωθεν.

͵αυοη΄ ἔκαμεν ἀγάπη ἡ αὐθεντία τῶν Βενετιῶν μὲ τὸν σουλτὰν Μεεμέτ.

Ἐν ἔτει ͵αυπθ΄ Μαΐου γ΄ ἀπέθανεν ὁ σουλτὰν Μεεμέτης καὶ ἐκάθησε βασιλεὺς ὁ σουλτὰν Μπαγιαζήτης.

͵αυϘθ΄ μηνὶ Αὐγούστου κθ΄ ἐπαράλαβεν ὁ σουλτὰν Μπαγιαζήτης τὴν Ἔπακτον.

͵αφ΄ Αὐγούστου θ΄ ἐπαράλαβε τὴν Μοθώνη καὶ ἀπεκεφάλισεν ἅπαντας καὶ ἐγένετο αἱματοχυσία πολλή. Τὸν αὐτὸν μῆνα ἐπαραδόθη καὶ ἡ Κορώνη, ὁμοίως καὶ ὁ Ἀβαρῖνος. Τὸ αὐτὸ ἔτος ἐπῆραν καὶ τὰ Βάτικα καὶ τὸν Ἀσωπό.

Ἐν ἔτει ͵αφιβ΄ ἐπαράλαβεν τὴν αὐθεντία ὁ σουλτὰν Σελίμης ἀπὸ τὸν πατέρα του, τὸν σουλτὰν Μπαγιαζήτη καὶ εἰς τὸ ἀνακύκλωμα τοῦ αὐτοῦ χρόνου ἐχάλασε τοὺς δύο του ἀδελφούς, ὁμοίως καὶ τοὺς ἀνεψιούς του.

͵αφιε΄ ἔκοψεν ὁ σουλτὰν Σελίμης τὸν Ἀνατωλὰ καὶ ἐπῆρε καὶ τὸν τόπον του.

Ἐν ἔτει ͵αφιστ΄ ἐστράτευσεν ὁ σουλτὰν Σελίμης κατὰ τοῦ σουλτάνου τοῦ Μισιρίου καὶ ἔσμιξαν τὰ φουσᾶτα εἰς τὸ Χαλέπι εἰς τὰς κε΄ τοῦ Αὐγούστου καὶ ἔδωσαν πόλεμον καὶ ἐκεῖ εὑρέθη ὁ σουλτάνος ἀποθαμένος χωρὶς λάβωμα καὶ τῆς ὥρας ἐκείνης ἐτζακίσθησαν τὰ φουσᾶτα καὶ εὐθὺς ἐπροσκύνησε τὸ Χαλέπι, τὸ Βερούτι καὶ ἡ Δαμασκό.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ὁ δὲ ἀδελφὸς αὐτοῦ κὺρ Θεόδωρος ὁ Πορφυρογέννητος, ὁ δεσπότης Μορέως ἀπῆλθεν εἰς τὴν Κωνσταντινούπολιν ἵνα γένηται βασιλεὺς καὶ ἀπέτυχεν τοῦ σκοποῦ· ἐβασίλευσεν γὰρ κὺρ Ἰωάννης ὁ ἀδελφὸς αὐτοῦ.

Τῷ ,ϛϡνβ΄ ἔτει μηνὶ Μαρτίῳ ἔκτισεν τὸ Ἑξαμίλι κὺρ Κωνσταντῖνος Παλαιολόγος ὁ δεσπότης Μορέου, ἐπαρέλαβεν δὲ |φ. 105 α| ὁ αὐτὸς καὶ Θήβας τὰς ἑπταπύλας καὶ ἐκούρσευσεν μέχρι Λιβαδείας καὶ Ζητουνίου καὶ τοῦ τόπου τῶν Ἀγράφων.

Τῷ ,ϛϡνε΄ ἔτει τοῦ κόσμου τῆς δὲ θείας σαρκώσεως ,αυμστ΄ Δεκεβρίου γ΄ ἡμέρᾳ Σαββάτῳ ἦλθεν μετὰ φοσάτου ,αξ΄ Τοῦρκος ἀμηρᾶς Ἀχμάτης ὁ Ἀμωράτης εἰς τὸ Ἑξαμίλι Κορίνθου καὶ τῇ ἄλλῃ ἐρχομένῃ Παρα(σ)κ(ευῇ) ἑσπέρᾳ ἤρξατο τοῦ πολέμου· καὶ δι᾽ ὅλης τῆς νυκτὸς γεναμένης ἰσχυρᾶς τῆς ἀμάχης, τῷ πρωῒ ἀφείθη ὁ τοῖχος παρὰ τῶν ἐπιβούλων καὶ ἐτράπησαν εἰς φυγὴν οἱ Ρωμαῖοι καὶ ἐσέβησαν οἱ Τοῦρκοι καὶ ἐδίωκον αὐτοὺς καὶ οὓς μὲν ἀνεῖλον, οὓς δὲ ᾐχμαλώτισαν· καὶ ἐπῆραν ἄπειρα πλήθη καὶ ἅρματα καὶ ζῶα καὶ χρήματα. Εἶτα ἀπῆγαν εἰς τὰ Βασιλικά, εἶτα εἰς τὴν Βοτζήτζαν καὶ ἐνέπρησαν αὐτὴν καὶ ᾐχμαλώτευσαν, ὁμοίως καὶ εἰς τὴν Πάτραν, χωρὶς τὸν κουλᾶν ἔτι δὲ καὶ τὰ πέριξ τούτων. Καὶ ἐγίνετον ἡ αἰχμαλωσία πολλὴ σφόδρα καὶ οὕτως ἐστράφηκεν (ἐν τῇ ὤᾳ: Ση(μείωσαι;) τὴν αἰχμαλωσίαν τῆς ἀθλίας πόλεως Κωνσταντίνου).

Τῷ ,ϛϡνθ΄ ἔτει ἐτελεύτησεν ὁ ἀμηρᾶς ὁ Ἀμουράτης καὶ ἔλαβεν τὴν ἀφεντίαν ὁ υἱὸς αὐτοῦ ὁ Τζαλαπῆς. Καὶ παραλαβὼν τὴν ἀρχὴν ἔκτισεν τὸ Νεόκαστρον· καὶ ἤρξατο ζητεῖν τὴν Κωνσταντίνου πόλιν. Διαλύσας δὲ τὴν εἰρήνην συνήθροισε πλῆθος ἄπειρον, καὶ στρατὸν συνάξας |φ. 105 β| διά τε ξηρᾶς καὶ θαλάσσης, παρεκάθισε τὴν πόλιν ἐν συγκλεισμῷ ⟨καὶ⟩ ἤρξατο πολεμεῖν αὐτήν. Μηχανήματα δὲ πολλὰ κατασκευάσας καὶ σύνταξιν συγκροτήσας πεζῶν καὶ ἱππέων, καὶ τὴν θάλασσαν τοῦ λιμένος πληρώσας πλοίων συγκροτεῖ πόλεμον ἐξ ἀμφοτέρων τῶν μερῶν καὶ παρέλαβεν αὐτὴν μηνὶ Μαΐῳ κθ΄ ὥρᾳ γ΄ τῷ ,ϛϡξα΄ ἔτει ἰνδικτιῶνος α΄.

Τῷ ,ϛϡμζ΄ ἔτει γέγονεν ἡ λεγομένη η΄ σύνοδος ἡ ἐν Φλωρεντίᾳ.

Τῷ ,ϛϡξδ΄ ἔτει ἰνδικτιῶνος δ΄ μηνὶ Μαΐῳ κθ΄ ἐφάνη ἀστὴρ ἐν τῷ οὐρανῷ ἀνατέλλων, ἐκβλύζων ὥσπερ καπνὸν εἰς μῆκος ἐπὶ πολλὰς ἡμέρας.

Τῷ ,ϛϡξδ΄ ἔτει ἰνδικτιῶνος δ΄ μηνὶ Ἰουνίῳ παρεδόθη εἰς τὰς χεῖρας τῶν Μουσουλμάνων ἡ πόλις τῶν Ἀθηνῶν.

Τῷ ,ϛϡξδ΄ ἔτει ἰνδικτιῶνος δ΄ ἐγένετο λεῖψις καὶ ὑστέρησις παντοίων καρπῶν· καὶ ἤσθιον ὁ λαὸς ἐκ τοῦ λιμοῦ βοτάνας, χλόας, ρίζας, γιγάρτας, ἀκρόδρυα, ἤφερεν δὲ τὸ πεντάλιτρον σιτάρι ὑπέρπυρα λ΄ καὶ οὐχ εὑρίσκετο.

Τῷ ,ϛϡξε΄ μηνὶ Μαΐῳ ἦλθεν ὁ ἀμηρᾶς ὁ Μεχεμὲτ Τζαλαπῆς μετὰ φοσάτου ,αξ΄, εἰς τὸν Μορέαν καὶ παρέλαβεν τὴν Πάτραν, τὸ Μουχλίν, καὶ Αὐγούστου εἰς τὰς στ΄ παρέλαβεν τὴν Κόρινθον.

|φ. 106 α| Τῷ ,ϛϡξη΄ ἔτει ἦλθεν ὁ αὐτὸς ἀμηρᾶς τὸ δεύτερον εἰς τὸν Μορέαν· καὶ ἐπαράλαβε τὸν Μεζηθρᾶν καὶ ἐπῆρε τὸν κὺρ Δημήτριον τὸν δεσπότην σὺν τῆς βασιλίσσης

καὶ τῆς θυγατρὸς αὐτοῦ, τὴν ὁποίαν ἐπῆρεν εἰς τὸ σαράϊ μηνὶ Μαΐῳ λ΄, ἰνδικτιῶνος ζ΄.

Τῷ ,ϛϡοα΄ ἔτει μηνὶ Ἀπριλίῳ γ΄, ἡμέρᾳ Κυριακῇ τῶν Βαΐων ἐπαρέδωσαν οἱ Ἀργεῖοι τὴν χώραν τοῦ Ἄργους εἰς τὰς χεῖρας τῶν Τουρκῶν. Καὶ τῇ κε΄ τοῦ Ἰουλίου μηνὸς ἡμέρᾳ β΄ ἐξοίκισαν αὐτοὺς οἱ Τοῦρκοι ἀπὸ τὸ Ἄργος καὶ ἐξώρισαν αὐτοὺς σὺν γυναιξὶ καὶ τέκνοις εἰς τὴν Κωνσταντινούπολιν. Καὶ τῇ ε΄ τοῦ Αὐγούστου παρέλαβον οἱ Βενέτικοι τὸ αὐτὸ Ἄργος.

Τῷ ,ϛϡοβ΄ ἔτει συνήθροισεν ἡ αὐθεντία τῶν Βενετίκων στρατὸν διὰ ξηρᾶς καὶ θαλάσσης ἱππέων καὶ πεζῶν καὶ πλοίων πλείστων εἰς τὸ Ἀνάπλι· καὶ τῇ α΄ τοῦ Σεπτεβρίου ἀπῆλθεν εἰς τὸ Ἑξαμίλι καὶ ἤρξαντο κτίζειν καὶ τειχίζειν αὐτὸ ξηρέμβολον· καὶ ἐπολέμιζον καὶ τὴν Κόρινθον καὶ γεναμένης ἔριδος διὰ μέσον αὐτῶν διελύθη ἡ σύναξις.

Ἔτους ,ϛωϟζ΄ ἐπαράλαβεν ἡ ἐκλαμπροτάτη ἡμῶν ἀφεντία τὸ Ἀνάπλι.

Τῷ ,ϛϡο΄ ἔτει μηνὶ Μαρτίῳ ἦλθεν ὁ Ἀμπάρμπεης μετὰ πλείστου λαοῦ |φ. 106 β| καὶ τεχνιτῶν καὶ ἔκτισεν τὸν πύργον τοῦ Ἄργους καὶ ἔβαλεν φύλαξιν καὶ ἐκράτησεν αὐτό.

Τῷ ,ϛϡοη΄ ἔτει ἰνδικτιῶνος η΄ ἦλθεν ὁ ἀμηρᾶς σὺν στρατοῦ πλείστου, ἱππέων καὶ πεζῶν καὶ πλοίων διὰ θαλάσσης τριακοσίων ξ΄ μικρῶν καὶ μεγάλων εἰς τὴν Εὔριπον, καὶ ἐπολέμιζεν αὐτὴν ἡμέραν καὶ νύκταν μετὰ μηχανημάτων πολλῶν ἀπὸ Ἰουνίου ιβ΄ ἕως Ἰουλίου ιβ΄. Καὶ τῇ ιβ΄ τοῦ Ἰουλίου ἡμέρᾳ ε΄ ἐπαρέλαβεν αὐτὴν ὁ αὐτὸς ἀμηρᾶς ὁ Μεεμέτης τζαλαπῆς μετὰ αἱματοχυσίας πολλῆς καὶ μάχης ἰσχυρᾶς, ἀπέθανεν δὲ πλῆθος ἄπειρον ἀμφοτέρωθεν· καὶ οὕτως ἐπαρέλαβεν καὶ τὴν καθόλου νῆσον.

Τῷ ,ϛϡνε΄ ἰνδικτιῶνος ι΄ ἦλθεν εἰς τὴν Κόρινθον ὁ ἁγιώτατος Μητροπολίτης κὺρ Μαλαχίας μετὰ τὴν κοίμησιν τοῦ ἁγιωτάτου Μάρκου.

Τῷ ,ϛϡλη΄ ἐπῆραν οἱ Μουσουλμάνοι τὴν Θεσσαλονίκην.

Τῷ ,ζκβ΄ ἔτει Ἀπριλίῳ ιστ΄ ἐγένετο μέγας σεισμὸς εἰς τὴν Ζάκυνθον, ὥστε ἐχάλασαν πλεῖστα ὀσπίτια ἀπὲ τὸ κάστρος τὸ ἄνω καὶ μερτικὸν ἀπὲ τὸ κάτω, καὶ ἐπλάκωσαν πλεῖστον λαόν.

Εἰς τὰ ,αυοζ΄ Ἰανουαρίου ἐποίησεν ἡ πανυψηλοτάτη ἡμῶν αὐθεντία τῶν Βενετίκων ἀγάπην μὲ τὸν Τοῦρκον

Εἰς τὰ ,αυϟθ΄ ἐποίησεν ἀμάχην ἡ αὐθεντία ἡμῶν μὲ τὸν Τοῦρκον καὶ τῷ αὐτῷ ἔτει ἐπῆρεν ὁ Τοῦρκος τὸν Ναύπακτον |φ. 107 α|.

Εἰς τὰ ,αφ΄ ἔτη ἐπῆρεν τὴν Μοθοκορώνην.

Εἰς τὰ ,αφγ΄ ἐποίησεν τὴν ἀγάπην μὲ τὸν Τοῦρκον.

Τῷ ,ζκ΄ ἔτει ἀπέθανεν ὁ ἀμηρᾶς ὁ Παγιζήτης καὶ παρέλαβεν τὴν ἀφεντίαν ὁ υἱὸς αὐτοῦ τοῦ Παγιζήτη.

Καὶ τῷ αὐτῷ ἔτει ἦλθεν εἰς πόλεμον μὲ τὸν ἀδελφὸν αὐτοῦ τὸν Ἀχμάτι καὶ ἐπίασεν αὐτὸν μετὰ δόλου, ὑπὸ τῶν αὐτοῦ μεγιστάνων παραδοθείς, τὸν ὁποῖον ἔπνιξεν μὲ τὴν κόρδαν τοῦ δοξαρίου.

Τῷ ,ζκα΄ ἔτει ἐπίασεν τὰ δύο παιδία τοῦ Ἀχμάτι καὶ ἔκοψεν αὐτά.

Καὶ τῷ αὐτῷ ἔτει ἐπίασεν τὸν ἕτερον ἀδελφὸν αὐτοῦ τὸν Κουρκούτι καὶ ἐθανάτωσεν αὐτόν.

Τῷ ,ζκβ΄ ἔτει ἐσύναξεν ὁ Σαλήμης πλεῖστον φουσᾶτον ἱππέων καὶ πεζῶν, πλεῖστον, ὑπὲρ τὰς σ΄ χιλιάδας καὶ ὑπῆγεν εἰς τὴν Περσίαν εἰς τὸν Σοφῆν. Καὶ εἰς τὰς κθ΄ τοῦ Αὐγούστου μηνός, ὥρᾳ δευτέρῃ (;) τῆς νυκτός, ἔδωσαν πόλεμον εἰς τὸν τόπον τοῦ Σοφῆ καὶ ἐτζάκισεν αὐτὸν ὁ Σοφῆς καὶ ἔκοψεν ἀπὲ τὸ φοσᾶτον τοῦ Σαλήμι περισσότερον ὑπὲρ χιλιάδας ρ΄. Καὶ ἐγύρισεν ὁ Σαλήμης τζακισμένος καὶ πάλιν ἔλαβεν ὁ Σοφῆς τὸ Ταμπρίζιν, τὸ σκαμνὶν αὐτοῦ καὶ τὸν τόπον ὅσον τοῦ ἐπῆρεν ὁ Σαλήμης.

Τῷ ,ζκε΄ ἐπῆρεν ὁ σουλτὰν Σαλήμης τὸ Κάερος καὶ τὴν ἀφεντίαν τοῦ σουλτάνου ὅλην καὶ ἐπίασεν τὸ[ν] σουλτάνον |φ. 107 β| καὶ ἐθανάτωσέ τον πικρῷ θανάτῳ· ὅς ὠνομάζετον σουλτὰν Μπαράκ, ἑρμηνεύεται δὲ τῇ Ἑλλήνων γλώττῃ βασιλεὺς εὐλογημένος.

Τῷ ,ζκθ΄ ἔτει Σεπτεβρίῳ κστ΄ βασιλεύσας ἔτη θ΄ ἀπόθανεν ὁ ἀσεβὴς ἀμηρᾶς σουλτὰν Σελήμης, ἀνὴρ ἀνδρεῖος, σώφρων καὶ δίκαιος κριτής· ἠγάπα τοὺς χριστιανοὺς πλεῖστα καὶ μάλιστα τὴν ἐκκλησίαν τοῦ Χριστοῦ· ἐν τῷ αὐτοῦ καιρῷ ἀνηγέρθησον πολλαὶ ἐκκλησίαι τῶν χριστιανῶν· ἔδωσεν ἁπλῆν ἐξουσίαν εἰς τὸν καιρόν του ἁπλῶς αἱ παλαιαὶ ἐκκλησίαι ἵνα ἀνεγείρωνται· οὕτως εἶπεν· πάντες οἱ οἶκοι τοῦ Θεοῦ νὰ καλλωπίζωνται· καὶ σὺν ταῖς παλαιαῖς ἐκκλησίαις ἔγιναν καὶ πλεῖσταις νέαις ἐκ θεμελίων.

Τῷ αὐτῷ ἔτει ἔλαβεν τὴν βασιλείαν ὁ υἱὸς αὐτοῦ ὁ Σουλαϊμάν, (ἐν τῇ ὤᾳ: ἐτῶν ὢν κγ΄) καὶ ἐκάθησεν εἰς τὸν θρόνον τῆς βασιλείας τῷ αὐτῷ Σεπτεβρίῳ μηνὶ εἰς τὰς ιστ΄ ἐν τῇ Ἀνδριανουπόλει.

Τῷ ,ζλ΄ ἔτει Ἰουνίῳ μηνὶ ἐποίησεν ὁ σουλτὰν Σουλαϊμάνης φουσᾶτον ἱππέων καὶ πεζῶν χιλιάδας ρ΄ ὅστις ὑπῆγεν εἰς τὴν Οὐγγρίαν καὶ ἐπολέμιζεν τὸ Ἀμπελογράδι καὶ εἰς τὰς β΄ τοῦ Αὐγούστου ἐπαράλαβεν αὐτό· καὶ πάλιν ὑπέστρεψεν εἰς τὴν Ἀνδριανούπολιν.

Εἰς τὰ ,αφκβ΄ Ἰουνίῳ ... ἐποίησεν ὁ σουλτὰν Σουλαϊμάνης |φ. 108 α| φουσᾶτον διὰ ξηρᾶς χιλιάδες σ΄ καὶ στόλον διακόσιους ἑβδομήκοντα ἄρμενα, κάτεργα καράβια, καὶ φοῦστες καὶ ὑπῆγεν εἰς τὴν Ῥόδον. Καὶ ἐπολέμει αὐτὴν διὰ πλείστων ἑλεπόλεων ἀπὲ τὸν Ἰούνιον μῆνα ἕως τὸν Δεκέβριον καὶ τῇ κε΄ τοῦ αὐτοῦ ἐπαρεδόθη ἡ αὐτὴ ἀθλία εἰς χεῖρας αὐτοῦ· ἔδωσεν δὲ ἄδειαν καὶ ἐξέβη ὅστις ἤθελεν.

Πρὶν βασιλεῦσαι οὗτος ὁ Σουλαϊμάνης ἐπορεύθη τις Ἑβραῖος μάγος πρὸς αὐτὸν καὶ εἶπεν αὐτῷ: γίνωσκε, σουλτάνε μου, ὅτι μέλλεις βασιλεῦσαι. Καὶ ἀποκριθεὶς ὁ σουλτὰν Σουλαϊμὰν εἶπεν αὐτῷ· ἐν πόσῳ καιρῷ. Ὁ δὲ Ἑβραῖος ἔφη· τρία στοιχεῖα γραμμάτων μὲ διδάσκουν, οὐκ οἶδα εἰ χρόνοι εἰσὶν ἢ μῆνες ἢ καὶ τὰ ἄλλα. Καὶ ταῦτα εἰπὼν καὶ ἄλλα ὅσα ἦταν χρεία, ἔφη ὁ σουλτὰν Σουλαημάνης, ὅτι ἐὰν βασιλεύσω δώσω σοι λοφᾶν, ὅσον θέλεις. Καὶ ἐποίησεν αὐτῷ ἔγγραφον ὁμολογίαν· καὶ κατὰ τὸν λόγον τοῦ Ἑβραίου ἐβασίλευσεν· καὶ τῶν στοιχείων ἀριθμουμένων εὑρέθη ἀληθῶς ὁ Ἑβραῖος. Ἦλθεν δὲ ὁ Ἑβραῖος καὶ αἰτήσας τὸν λοφᾶν, κατὰ τὸ ἰδιόγραφον τοῦ ἀφεντὸς καὶ λαβὼν αὐτὸ καὶ ἄλλας πλείστας τιμάς· ἠρώτηξεν δὲ αὐτὸν περὶ τῆς βασιλείας αὐτοῦ τί μέλλει γενέσθαι. Ὁ δὲ Ἑβραῖος ἢ

κακίᾳ φερόμενος, ἢ καὶ ἀληθῶς ὡς ἐδιδάσκετον ὑπὸ τὰς μαντείας αὐτοῦ |φ. 108 β| ἔφη ὅτι οἱ Χριστιανοί, ὁποῦ εἶναι εἰς τὴν Πόλιν, μέλλουν νὰ ποιήσουν στάσιν καὶ βασιλέαν, ὅστις ἔνε τὴν σήμερον εἰς τὴν Πόλιν, καὶ αὐτοὶ σὺν αὐτῷ νὰ στασιάσουν κατὰ τοῦ σοῦ κράτους· καὶ διὰ τοῦτο προεῖδε ἡ βασιλεία σου νὰ τοὺς κόψῃς, ἵνα μὴ τελέσουν τὸ ἔργον. Ὁ δὲ συμβούλιον ἐποίησεν μετὰ τῶν πρωτοσυμβούλων αὐτοῦ ἵνα κόψῃ τοὺς Χριστιανούς· καί τις ἐκ τῶν μεγιστάνων αὐτοῦ, ὀνόματι Πυρυμπασιᾶς, ἀπέκοψεν αὐτὸν τῆς αὐτῆς ἀθέσμου καὶ ἀδίκου ὁρμῆς εἰπὼν αὐτῷ: σουλτάνε μου, τὰ τοιαῦτα μεγάλα πράγματα ἀπὸ Θεοῦ εἰσίν· καὶ εἰ μὲν εἰσὶν ὑπὸ Θεοῦ, οὐ δυνάμεθα ἐναντιωθῆναι, ἵνα μὴ εὑρεθῶμεν καὶ θεομάχοι· εἰ δὲ εἰσὶν ἐξ ἀνθρώπων, ἄφες ἡμᾶς τοὺς δούλους σου, ἵνα ποιήσωμεν τὴν ἐκδίκησιν.

Τούτῳ τῷ ἔτει ἔδειξεν ὁ Θεὸς σημεῖον τοιόνδε ἐν τῇ Κωνσταντινουπόλει· τῇ μεγάλῃ Κυριακῇ τοῦ Πάσχα τὸ μεσονύκτιον ἠγέρθησαν οἱ τερβήσιδες καὶ ὑπῆγαν εἰς τὴν Ἁγίαν Σοφίαν νὰ σαλαβατίσουν κατὰ τὸ αὐτῶν ἔθος. Καὶ ἐλθόντες εἰς τὰ προαύλια τοῦ ναοῦ, ἤκουσαν ψαλμῳδίαν, καὶ εἶδον καὶ φῶς μέγα ἐν τῷ ναῷ· καὶ πλησιάσαντες εὗρον τὰς πύλας ἀνεῳγμένας, τὰς κανδήλας ἀναμμένας καὶ φωνὰς ψαλμῳδίας, τὸ Χριστὸς ἀνέστη· καὶ ἀκούσας σπουδαίως ἔδωσαν γνωστὸν |φ. 109 α| τοῦ ἀφεντός, ὅστις ἦλθεν σωματικῶς καὶ ἄκουσεν, καὶ εἶδεν ἐν ὀφθαλμοῖς κελεύσας ἵνα ἀναβοῦν εἰς τὰ ἀνηχούμενα νὰ σκοπεύσουν μήποτε ἔστιν ἐξ ἀνθρώπων ἡ τοιαύτη ἐνέργεια. Καὶ εὐθὺς ἐξέλιπεν καὶ τὸ φῶς καὶ ἡ ψαλμῳδία. Καὶ πάλιν ὥρμησεν ἵνα κόψῃ τοὺς Χριστιανούς, εἰ μὴ πάλιν ὁ αὐτὸς Πυριπασιᾶς ἀπέκοψεν αὐτοῦ τὴν ὁρμήν.

Εἰς τὰ ,αφκβ´ Ἰουλίῳ ... ἐπῆρεν ὁ Σπάνιας τὴν Γένουβαν ἀπὸ σπαθίου καὶ ἔκοψεν ἐν αὐτῇ ψυχὲς λε´ χιλιάδες.

Εἰς τὰ ,αφκγ´ ἀπεστάλη ὁ Ἀχμάτης μπασιᾶς ὑπὸ τοῦ ἀμηρὸς σουλτὰν Σουλαϊμάνη εἰς τὸ Κάερος ἵνα ὁρίζει αὐτό, ὅστις διὰ φθόνον, διατὶ ἠγάπα ὁ ῥηθεὶς ἀμηρᾶς τὸν Πραΐμπασιᾶ ἀνυποστάτησε καὶ ἔγινεν ἀντάρτης· καὶ ἔκοψεν ὅλους ὅσους ηὗρεν ὁποῦ ἤθελαν νὰ εἶναι εἰς τὴν δουλοσύνην τοῦ ῥηθέντος ἀμηρός. Οἱ δὲ οἰκεῖοι τοῦ αὐτοῦ τόπου ὕψωσαν τὸν ῥηθέντα μπασιᾶν καὶ ἐποίησαν αὐτὸν σουλτάνον· οὗ ὁ ἀδελφὸς ἦν φλαμπουριάρις εἰς τὸν Μορέαν. Καὶ ἔστειλεν ὁ ῥηθεὶς ἀμηρᾶς καὶ ἀπεκεφάλισεν αὐτὸν ἐν τῇ Μεθώνῃ· τὴν ὁποίαν κεφαλὴν ἔγδειραν καὶ ἐπῆραν αὐτὴν εἰς τὴν Κωνσταντινούπολιν. Ὁ δὲ ῥηθεὶς Ἀχμάτης, ὁ νεωστὶ σουλτάνος, ἐσύναξεν |φ. 109 β| ὅλους τοὺς Ἑβραίους τοὺς ὑπ᾿ αὐτόν, καὶ ἔκοψέν τους καὶ τὸν βίον αὐτῶν ἐδήμευσεν· ὅς ἐσύναξεν ἐξ αὐτῶν βίον πλῆθος ἄπειρον.

Τῷ αὐτῷ ἔτει διὰ συνεργείας τοῦ ῥηθέντος μεγάλου ἀφεντός, τοῦ Σουλαϊμάνη ἐσκότωσαν μέσα εἰς τὸ λουτρὸν τὸν ῥηθέντα Ἀχμάτμπασία· καὶ πάλιν ὁ τόπος ὅλος τῆς Συρίας ἐγύρισεν εἰς τὴν δουλοσύνην τοῦ μεγάλου ἀφεντός.

Τῷ αὐτῷ ἔτει ὁ ῥηθεὶς ἀμηρᾶς ἐξήβαλεν πολλὰς φαμιλίας ἀπὸ τὰ κάστρη τῆς Ρωμανίας καὶ ὑπῆγε τας εἰς τὴν Αἴγυπτον καὶ Τούρκους.

Τῷ αὐτῷ ἔτει καὶ τὸ παρελθόν(;) ἐγίνετο λοιμικὴ νόσος παγκόσμιος, κυρίως δὲ εἰς τὴν Κρήτην, εἰς τὴν Ῥόδον, εἰς τοὺς Κορφούς, εἰς τὴν Ζάκυθον, εἰς τὴν Ἄρταν, εἰς τὰ Ἰωάννινα ἐγένετο περί(σσεια;), καὶ εἰς τὸν Μορέαν σποράδην καὶ εἰς τὴν Ἀθήνα.

Τῷ αὐτῷ ἔτει Αὐγούστῳ εἰς τὰς η´ ἐπέρασεν ὁ Κούρτουγλης μετὰ κατέργων καὶ φουστῶν καὶ ὕπῆγε τὸ μέρος τῆς Πούλιας καὶ ἐπῆρεν ἕνα καστέλλι.

---

25 κῶδ.: Λεον$^{\tau\varrho}$· ἔκδ. μετὰ Δούκαν: Λέοντος. 26: ἀπήγασιν καὶ ἐσπείραν(;) 28: Λεον$^{\tau\varrho}$· ἔκδ. μετὰ Δούκαν: Λέοντος 35: ἐπικερ$^{\nu}$ ἔκδ. μετὰ Δούκαν: Ἐπικερνὸς 47: ἐξαμή$^{\lambda}$· ἔκδ. μετὰ Δούκαν: Ἑξαμίλιον 61: Θερμι$^{\sigma}$· ἔκδ. μετὰ Δούκαν: Θερμίσον (σ. 516,19) 62: με$^{\gamma\varrho}$· ἔκδ. μετὰ Δούκαν Μέγρα (σ. 516,20) 67: γαρδι$^{\kappa}$· ἔκδ. μετὰ Δούκαν: Γαρδικὸν 78: σα: ἔκδ. μετὰ Δούκαν: σαββάθῳ 79: παρα$^{\kappa}$· ἔκδ. μετὰ Δούκαν: παρὰ κ´ 80: ἀφη$^{\vartheta}$· ἔκδ. μετὰ Δούκαν: ἄφθη 102: πεντα$^{\lambda\tau\varrho}$· τὸ σι$^{\tau\varrho}$ ὕπ$^{\varrho}$ λ· ἔκδ. μετὰ Δούκαν: πεντάλιτρον τὸ σῖτος ὑπὲρ λ´ 116: τειχείειν· ἔκδ. μετὰ Δούκαν: τειχεῖν 118: ἐκλαμπρω$^{\tau\tau}$ ἀφεν$^{\tau}$ 119: ἀμπάρμπεης· ἔκδ· μετὰ Δούκαν: Ἀμπάρ Μπεκυς 131: ἀπετὸ 134-135: μετὸν 151: ἐτζάκισαν 152: σκαμνὶν αὐ$^{\tau}$· ἔκδ. μετὰ Δούκαν: Σκαμνὶν αὐτῶν 168: μετὰ τὸ Ἰουνίῳ κενὸν 169: διαξηρᾶς 170: καραβ$^{\beta}$· ἔκδ. μετὰ Δούκαν· καράβας 182: βασι$^{\lambda}$ 201: μετὰ τὸ Ἰουλίῳ κενὸν 205: ἀνυποστάσετι 213: διὰ συνερ$^{\gamma}$ ἔκδ. μετὰ Δούκαν: διὰ συνέργου 215: δουλο$^{\sigma\nu}$ 220: περι$^{\sigma}$. ἔκδ. μετὰ Δούκαν: Περίαν 220: σπορά$^{\Delta}$

## 28

Κῶδ. Κουτλουμουσίου 251 φ. 307 α

Ἀπὸ τοῦ Ἀδὰμ ἕως τοῦ κατακλυσμοῦ ἐπέρασαν χρόνοι χιλιάδες ,βσμβ´.

Ἀπὸ τοῦ κατακλυσμοῦ ἕως τῆς πυργοποιίας ἔτη ,φκε´.

Ἀπὸ τῆς πυργοποιίας ἕως τοῦ Ἀβραὰμ ἔτη υκε´.

Ἀπὸ τοῦ Ἀβραὰμ ἕως τῆς ἐξόδου υἱῶν Ἰσραὴλ ἐξ Αἰγύπτου ἔτη υλ´.

Ἀπὸ τῆς ἐξόδου ἕως τῆς οἰκοδομῆς τοῦ Σολομῶντος ναοῦ ἔτη ψκζ´.

Ἀπὸ τῆς οἰκοδομῆς ἕως τῆς αἰχμαλουσίας υἱῶν Ἰσραὴλ ἔτη υ´.

Ἀπὸ δὲ τῆς αἰχμαλουσίας ἕως τοῦ Ἀλεξάνδρου ἔτη τξγ´.

Ἀπὸ δὲ τοῦ Ἀλεξάνδρου ἕως τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἔτη ,τοη´ | φ. 307 β. |

Ἀπὸ δὲ τῆς Θεοφανείας ἕως τοῦ μεγάλου Κωσταντίνου ἔτη τιη´.

Ὅταν ἐκτίστη ἡ Κωνσταντινούπολις ἔτη χιλιάδες ,εωλζ´.

Ὅταν ἐκτίστηκεν ἡ Ἁγία Σοφία ἔτη χιλιάδες ,στλθ´.

Ὅταν ἐφάνη ὁ Μωάμεθ ἔτη ,στρκζ´.

Ὅταν ἦλθαν οἱ Τοῦρκοι ἀπὸ τὴν Ἀνατολὴν καὶ ἐπέρασαν εἰς τὴν Ῥωμανίαν ἔτη χιλιάδες ,στωξε´.

Ὅταν ἐπῆραν τὴν Ἀνδριανούπολιν ἔτη χιλιάδες ,στωοζ´.

Ὅταν ἐπῆραν τὴν Θεσσαλονίκην ἔτη χιλιάδες ,στϡοζ´.

Ὅταν ἐπῆραν τὰ Ἰωάννινα ἔτη ,στϡλη´.

῞Οταν ἐπῆραν τὴν Κωσταντινούπολιν ἔτη χιλιάδες ,στϡξα΄. | φ. 308 α |
῞Οταν ἐπῆραν τὴν ῎Εγριπον ἔτη ,στϡοη΄.
῞Οταν ἐπῆραν τὸν ῎Επακτον ἔτη ,ζστ΄.
῞Οταν ἐπῆραν τὴν Μοθώνη ἔτη ,ζη΄.
῞Οταν ἐπῆραν τὸν ῞Αγιον Δημήτριον ἔτη ,ζβ΄.
῞Οταν τὰ[ς] Σέρρας ἔτη χιλιάδες ,στϡκστ΄.
῞Οταν ἐπῆραν τὸ ᾿Αργυρόκαστρον ἔτη χιλιάδες ,στϡκστ΄.
῞Οταν ἐπῆραν τὴν Καραμανίαν ἔτη χιλιάδες ,στϡνζ΄.
῞Οταν ἐπῆραν τὰ ῾Ιεροσόλυμα ἔτη χιλιάδες ,στχκβ΄.
῞Οταν ἐπῆραν τὴν ῾Ρόδον ἔτη χιλιάδες ,ζλα΄.
῞Οταν ἐπῆραν τὴν ᾿Αθήναν ἔτη χιλιάδες ,στϡξδ΄.
῞Οταν ἐπῆραν τ᾿ ᾿Ανάπλι καὶ Μονοβασία ἔτη ,ζμζ΄. | φ. 308 β |
῞Οταν ἐπῆραν τὴν Καλλίπολιν ἔτη ,στωξ΄.
῞Οταν ἐπῆραν τὸ Ξαμίλι ἔτη ,στϡνε΄.
῞Οταν ἐπῆραν τὴν Κόρινθον ἔτη ,στϡξστ΄.
῞Οταν ἐπῆραν τὴν Λῆμνον καὶ τὸ Σκούταρι ἔτη χιλιάδες ,στϡπα΄.
῞Οταν ἐπῆραν τὸ Μισήρι ἔτη ,ζκε΄.
῞Οταν ἐπῆραν τὸ Πηντίνη ἔτη ,ζλζ΄.
῞Οταν ἐπῆραν τὴν Κύπρον ἔτη ,ζογ΄.
῞Οταν ἐπῆραν τὴν Χίον ἔτη ,ζοθ΄.
῞Οταν ἐκατέβην ὁ σουλτὰν Σουλεημάνης εἰς τοὺς Κορφοὺς ἔτη ,ζμε΄.
῞Οταν ἐπέρασαν οἱ Τοῦρκοι ἀπὸ τὴν ᾿Ανατολὴν εἰς τὴν Δύσιν ἔτη χιλιάδες ,στωα΄.

## 29

Κῶδ. μονῆς ᾿Ιβήρων 388 φ. 40 β

᾿Αλέξιος Δοῦκας ὁ Μούρτζουφλος μῆνας γ΄, οὗ βασιλεύοντος παρέλαβον οἱ Λατῖνοι τὴν Πόλιν, καὶ τῷ Κομνηνῷ περιτυχ(ὼν) ᾿Αλεξίῳ σκηνουμένῳ αὐτίκα ἐν Μοσυνοπόλει, διὰ τὴν ἀπὸ τῶν Λατίνων φυγὴν καὶ ἐπιβουλὴν κατ᾿ αὐτοῦ συσκευάσας, ὡς ἐφωράθη κατεσχέθη παρ᾿ αὐτοῦ τοῦ ἐν Μοσυνοπόλει καὶ ἐτυφλώθη. Εἶτα ἐπανιόντος ἐν τῇ Πόλει, καὶ μηδὲν δεινὸν ὑποπτευομένου πείσεσθαι παρὰ τῶν λοιπῶν, δι᾿ ἣν ὑπέστη τύφλωσιν οὗτος κατεσχέθη παρ᾿ αὐτῶν καὶ δίκας ἔδωκεν ἀπανθρώπους, ὑπὲρ ὧν καὶ αὐτὸς ἀπανθρώπως ἐχρήσατο τῷ τοῦ κυροῦ ᾿Ισαακίου υἱῷ. ᾿Ανήχθη γὰρ εἰς τὸν Ταύρου κίονα καὶ ῥιφεὶς ἐκεῖθεν ἐλεεινῶς ἀπέρρηξε τὴν ψυχήν, εἶτα προσδεθεὶς ἵππῳ καὶ συρεὶς ἐν τῇ Πόλει καὶ εἰς μέλη κατακοπεὶς τὰς ἑαυτοῦ συμφορὰς ἐλεεινὸν διήγημα τῷ βίῳ κατέλιπεν. Παρεδόθη δὲ ἡ Πόλις τοῖς Λατίνοις ἐν ἔτει ,στψιβ΄, κατὰ τὴν ιβ΄ τοῦ ᾿Απριλίου, ἡμέρᾳ β΄ ἰνδ. ζ΄, καὶ κατείχετο παρ᾿ αὐτῶν χρόνους νστ΄, μῆνας γ΄, ἡμέρας ιγ΄.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Θεόδωρος ὁ Λάσκαρις ὁ γεννάδας ἔτη ιη'.

Ἰωάννης ὁ Δοῦκας ὁ Βριανὸς ἔτη λγ'.

Θεόδωρος ὁ υἱὸς αὐτοῦ Λάσκαρις ἔτη δ'.

Μιχαὴλ ὁ πρῶτος τῶν Παλαιολόγων ἔτη κδ', οὗ τῷ τρίτῳ ἔτει τῆς βασιλείας παρεδόθη τοῖς Ῥωμαίοις ἡ Κωνσταντινούπολις ἐν τῷ ,στψξη' ἰνδ. δ', κατὰ τὴν κε' τοῦ Ἰουλίου μηνός. Ἀπέθανε δὲ καὶ οὗτος ἐν τῷ ,στψϟα' ἰνδ. ια' ἐν μηνὶ Δεκεβρίῳ ια'.

Ἀνδρόνικος ὁ υἱὸς αὐτοῦ καὶ Μιχαὴλ ὁ υἱὸς αὐτοῦ τοῦ Ἀνδρονίκου σὺν τῷ πατρὶ ἔτη μγ'.

Ἀνδρόνικος ὁ υἱὸς τοῦ δευτέρου Μιχαὴλ ἐστεφηφορήθη Φεβρουαρίου δευτέρᾳ, ἡμέρᾳ Σαββάτῳ ἰνδ. η' τοῦ ,στωλγ' ἔτους γεγονὼς αὐτοκράτωρ ἔτη ιγ' ἡμέρας κγ'.

Ἰωάννης ὁ υἱὸς αὐτοῦ, ὁ Παλαιολόγος ἐστέφθη Νοεμβρίῳ ιθ', ἡμέρᾳ δευτέρᾳ τοῦ ,στων'ου ἔτους, βασιλεύσας ἔτη μθ'· ἐκοιμήθη δὲ ἐν ἔτει ,στωϟθ' Φεβρουαρίου ιξ' ἡμέρᾳ ε'.

Μανουὴλ ὁ υἱὸς αὐτοῦ, ἔτι ζῶντος τοῦ πατρὸς αὐτοῦ Ἰωάννου ἐστέφθη κατὰ τὸ ,στωπε' ἔτος βασιλεύσας ἔτη..

Ἰωάννης ὁ υἱὸς αὐτοῦ, ἔτι ζῶντος τοῦ πατρὸς αὐτοῦ Μανουήλ, ἐστέφθη ἐν τῷ ,στϡ' βασιλεύσας ἔτη.. ἀπέθανε δὲ ἄκληρος, καταλιπὼν τὴν βασιλείαν τῷ ἀδελφῷ αὐτοῦ Κωνσταντίνῳ ὃς μεμνηστευμένος ὤν, διὰ τὰς κατεπειγούσας ἐπιφορὰς τῇ βασιλείᾳ αὐτοῦ ἄστεπτος ἐβασίλευε ἔτη (ἐν τῇ ῶα: ἔτη δ). Ἦν δὲ πᾶσα ἡ ζωὴ αὐτοῦ χρόνοι νστ', ἡμέραι ιε'· φεῦ τε καὶ τὸ τῶν Ῥωμαίων τέλος εἶδε κατὰ τὸ ,στϡξα' ἔτος ἐν μηνὶ Μαΐῳ κθ', ἐν ᾗ καὶ ἡ μνήμη τῆς ἁγίας ἐπετελεῖτο Θεοδοσίας.

Οὗτος τῷ ,στϡλβ' ἐξῆλθε καὶ ἀπῆλθεν εἰς Ἰταλίαν ποιῆσαι τὴν σύν(οδον). Νοεμβρίου ιε' ἐξῆλθε καὶ Ὀκτωβρίου κ' ἦλθεν εἰς τὴν Κωνσταντινούπολιν ἐν ἔτει λγ', ἐν δὲ τῷ λη' ἐσυμπεθέρευσεν καὶ ἔλαβεν ὁ δεσπότης κὺρ Κωνσταντῖνος τὴν ἀνεψιὰν Κάρλου τοῦ δεσπότου τὴν ἀ[κ]ριβήν· ἔλαβε δὲ προῖκα τὴν Γλαρέντζαν καὶ τὰ λοιπά. Τὸ αὐτὸ ἔτος ἀπέθανεν ὁ αὐτὸς Κάρλος καὶ ἐκυρίευσαν τὰ Ἰωάννινα οἱ Τοῦρκοι, ὁ Ἀμουράτμπεϊς. Τὸ αὐτὸ ἔτος ᾐχμαλωτίσθη καὶ ἡ Θεσσαλονίκη, ἥτις ἦν κρατημένη ὑπὸ τῶν Βενετίκων. Τὸ αὐτὸ ἔτος Ἰουλίῳ ἔλαβεν ὁ δεσπότης ὁ Κωνσταντῖνος τὸν τόπον τῆς Παλαιᾶς Πάτρας ἀπὸ λιμοῦ καὶ ἐποίησεν κεφαλὴν Γεώργιον Φράντζη τὸν Φιαλίτην.

|φ. 41 α| [Ἐ]ν δὲ τῷ λθ' ἔτει ἔλαβον οἱ Κατελάνοι τὴν Γλαφέντζα, ἣν ὁ δεσπότης Κωνσταντῖνος ἐξηγόρασεν, καὶ ἐχάλασεν αὐτήν· Ἐν δὲ τῷ μγ' ἀπέθανεν ὁ τῶν Ἀθηνῶν καὶ Θηβῶν αὐθέντης Ἀντώνιος Ντελατζιόλας.

Ἐν τῷ νγ' ἀνῃρέθη ὁ τῆς Οὐγγρίας ῥῆγας εἰς τὴν Βάρναν ἀπὸ τοῦ Ἀμουράτμπεϊ. Ἐν δὲ τῷ νε' μηνὶ Νοεμβρίῳ κ' ἦλθεν ὁ αὐτὸς εἰς τὸ Ἑξαμίλ(ιον)· κἀκεῖ ἦσαν οἱ δύο αὐτάδελφοι καὶ δεσπόται Κωνσταντῖνος καὶ Θωμᾶς καὶ κατέτρεψεν(;) αὐτοὺς Δεκεμβρίῳ ι', καὶ ἐχάλασε καὶ ἦλθεν ἕως τὴν Πάτραν καὶ ἔκαυσεν αὐτήν· καὶ πολλοὺς ἀνεῖλαν ἀνθρώπους εἰς τὰ Κανονικά.

στ΄ [ἀ]πέθανεν ὁ δεσπότης κὺρ Θεόδωρος ἐν Συληβρίᾳ καὶ ἔφεραν αὐτὸν εἰς τὸν Παντοκράτορα.

νζ΄ [Ν]οεμβρίου μοναχὸς ἐκοιμήθη ὁ βασιλεὺς Ἰωάννης ὁ Παλαιολόγος καὶ ἐτάφη ἐν τῷ Παντοκράτορι· ἐβασίλευσε χρόνους κγ΄ μῆνας ι΄, ἡμέρας ιε΄. [Τ]ὸ αὐτὸ ἔτος ἀπῆλθεν ἐν Κωνσταντινουπόλει κὺρ Θωμᾶς ὁ δεσπότης, ἐν δὲ τῇ Καλλιουπόλει ἔμαθε τὸν θάνατον τοῦ ἀδελφοῦ αὐτοῦ τοῦ βασιλέως· ὁ δὲ κὺρ Δημήτριος ὁ δεσπότης διεργάζετο λαβεῖν τὴν βασιλείαν. Οἱ δὲ μεγιστᾶνες ἔστησαν βασιλέα κὺρ Κωνσταντῖνον, καὶ ὄντος ἐκείνου ἐν Μυζηθρᾷ ἐξαπέστειλαν ἐκεῖσε κὺρ Ἀλέξιον Λάσκαριν τὸν Φιλανθρωπινὸν καὶ κὺρ Μανουὴλ Παλαιολόγον τὸν Γιάγαριν καὶ ἔστεψαν αὐτὸν βασιλέα, καὶ ἀπῆλθεν ἐν Κωνσταντινουπόλει Αὐγούστῳ νθ΄. [Ἐ]ψόφησεν Σεπτεμβρίου ια΄ ὁ Ἀμουράτμπεϊς ἐν Ἀνδριανουπόλει. Τὸ αὐτὸ ἔτος ἔγινεν ὁ υἱὸς αὐτοῦ Μουχαμέτμπεϊς ἀμηρᾶς.—ξα΄ (ἐ)γεννήθη εἰς τὴν Παλαιὰν Πάτραν ὁ υἱὸς τοῦ δεσπότου τοῦ κὺρ Θωμᾶ Ἀνδρέας Ἰανουαρίου ιζ΄. — Τὸ αὐτὸ ἔτος Ἀπριλίῳ δ΄ ἐπέκλεισε τὴν Πόλιν ὁ Μουχέμετ διὰ ξηρᾶς καὶ θαλάσσης· εἶχε δὲ διὰ ξηρᾶς ἄνδρας σ΄ καὶ διὰ θαλάσσης ξύλ(α) μικρὰ καὶ μεγάλα υ΄· εἶχε δὲ καὶ ἡ Κωνσταντινούπολις ἐντὸς ἄνδρας ͵δψογ΄ καὶ ξένους σ΄, ὅθεν καὶ εἰς τὰς κθ΄ τοῦ Μαΐου ἡμέρᾳ γ΄ ὥρᾳ α΄ τῆς ἡμέρας ἐπάρθη ἡ Πόλις ἀπὸ τῆς χαλάστρας τοῦ ἁγίου Ῥωμανοῦ· καὶ ἀνῃρέθη ὁ ἅγιος μάρτυς καὶ βασιλεὺς Κωνσταντῖνος σὺν πολλοῖς ἄρχουσι, βασιλεύσας χρόνους δ΄, μῆνας γ΄, ἡμέρας κ΄· πᾶσα ἡ ζωὴ αὐτοῦ ἔτη μθ΄, μῆνας ι΄ ἡμέρας ιε΄. [Ἐ]βασίλευσε τὸ γένος τῶν Παλαιολόγων ἔτη ρηδ΄, μῆνας ι΄, ἡμέρες ιε΄.—ξγ΄ [ἐ]ποίησαν οἱ Ἀλβανῖται ψευδοδεσπότην τὸν Καντακουζηνοῦ υἱὸν Μανουὴλ καὶ ἀπέστησαν ἐκ τῶν δεσποτῶν τοῦ Μορέως· ἔχοντες δ᾽ ἀγάπην μετὰ τῶν Τουρκῶν προσεκαλέσαντο τὸν Τουραχάμπεη· καὶ ἐλθὼν ἠφάνισε τοὺς Ἀλβανίτας, καὶ ἐξωρίσθη ὁ ψευδοδεσπότης. — ξστ΄ [ἐ]ν μηνὶ Μαΐῳ ιε΄ ἦλθεν ὁ μέγας αὐθέντης καὶ ἔλαβε τὴν Κόρινθον ἐκ τῶν χειρῶν κὺρ Ματθαίου τοῦ Ἀσάνη καὶ κὺρ Νικηφόρου τοῦ Λουκάν(η) ἐν Αὐγούστῳ, ἔλαβε δὲ καὶ τὴν Πάτραν καὶ τὰ Καλάβρυτα. Καὶ οἱ δύο αὐτάδελφοι, οἱ Ραλαῖοι κὺρ Γεώργιος καὶ κὺρ Θωμᾶς εὑρισκόμενοι εἰς τὴν Γλαρέντζα, εἰς τὴν Βλαχέρναν, ἔφθειραν πολλοὺς Τούρκους· τότε ἐπαρεδόθη καὶ ὁ δεσπότης ὁ κὺρ Δημήτριος ἐν τῷ Μυζηθρᾷ.—[Α]ὐγούστου στ΄ εἰς Κορυφοὺς ἀπέθανεν ἡ βασίλισσα τοῦ κὺρ Θωμᾶ καὶ ἐτάφη ἐν τῷ μοναστηρίῳ τῶν ἁγίων Ἀποστόλων. — [Τ]ὸ αὐτὸ ἔτος ἐλήφθη καὶ ἡ Τραπεζοῦντα καὶ ὁ Ἀμάρμπεϊς ἐλεηλάτησε τὴν Ναύπακτον καὶ ἐγένετο ἡ μάχη τῶν Βενετίκων.

οβ΄ [ἔ]λαβον οἱ Βενέτικοι τὴν Μονεμβασίαν ἀπὸ τὴν κεφαλὴν Μανουὴλ τοῦ Παλαιολόγου.—ογ΄ [Μ]αΐου β΄ ἐκοιμήθη ὁ δεσπότης κὺρ Θωμᾶς εἰς τὴν Ῥώμην· ὕστερον δὲ ἦλθεν κὺρ Ἀνδρέας καὶ κὺρ Μανουὴλ καὶ ἡ ἀδελφὴ αὐτῶν εἰς Ρώμην. — οη΄ [ἐ]λήφθη ἡ Εὔριπος καὶ ἡ Βοστίτζα ἠφανίσθη παρὰ τοῦ μπασία.—οθ΄ [ἐ]κοιμήθη ὁ δεσπότης κὺρ Δημήτριος ἐν Ἀδριανουπόλει, λαβὼν τὸ ἀγγελικὸν σχῆμα· ὠνομάσθη Δαβὶδ μοναχός· τὸν αὐτὸν χρόνον καὶ ἡ θυγάτηρ αὐτοῦ. — πγ΄ [ἐ]λήφθη καὶ ὁ Καφᾶς. — πθ΄ [Μ]αΐω γ΄ ἀπέθανεν ὁ σουλτὰν Μεχέμετ καὶ εἰς τὰς θ΄ ἐγένετο ὁ Μπαζαΐτ, ὁ υἱὸς αὐτοῦ σουλ-

τάνος.—ϟθ΄ [μ]ηνὶ Αὐγούστου ἐτζάκισαν τὰς καμπάνας τοῦ ἁγίου ὄρους.—,ζ΄ [δ] Μπαζαῒτ ᾐχμαλώτευσε τὴν Ἀλβανιτίαν.—,ζη΄ (ἔ)λαβε τὴν Ναύπακτον ἐν μηνὶ Αὐγούστῳ καὶ τὸν Σεπτέμβριον ἐκτίσθησαν τὰ νεόκαστρα εἰς τὸ Στενόν, ἡ δὲ ἀρμάδα ἐξεχείμασεν εἰς τὰ Ἄσπρα Ὀσπίτια. Καὶ τὸν Ἰούνιον ἦλθον εἰς τὴν Μεθώνην καὶ εἰς τὰς η΄ τοῦ Αὐγούστου ἡμέρᾳ Κυριακῇ ὥρᾳ ἑσπερινοῦ ἦλθον δ΄ κάτεργα βενέτικα, καὶ διῆλθον ἐκ μέσου τῶν κατέργων τῶν Τούρκων εἰς τὸν λιμένα διὰ βοήθειαν· τὴν αὐτὴν ὥραν ᾐχμαλωτίσθη· εἶτα ἡ Κορώνη παρεδόθη.—,ζκ΄ (Α)πριλίου κδ΄ ἐγένετο σουλτάνος ὁ Σελήμης ἡμέρᾳ ε΄· τὸν δὲ Μάϊον ἀπέθανεν ὁ πατὴρ αὐτοῦ, ὁ Μπαζαΐτης.—,ζκα΄ ἀπέθανε καὶ αὐτός, καὶ ἐγένετο ὁ νῦν ἐν τῷ ,ζκθ΄ ἐν μηνὶ . . . οὗτος ὁ νῦν Σουλεϊμάνης καὶ βασιλεύσας ἔτη . .

## 30

Κῶδ. Πατμ. 286 φ. 40α (Σακκελίωνος, Πατμ. Βιβλ. σ. 146, νέα ἀντιβολὴ Σ. Κουγέα)

Ὁ μέγας Κωνσταντῖνος ἐδιάβην εἰς τὴν Ρώμην εἰς τοὺς σνγ΄, ἔτος ἀπὸ Χριστοῦ, καὶ ἐβαπτίσθην ἀπὸ τὰ χέρια τοῦ πάπα Σιλβέστρου· ἔπειτα ἔκαμεν τὸν πάπαν καὶ ἐχάρισέν τον τὸν θρόνον ὁ Κωνσταντῖνος.

Εἰς τοὺς ,εωλη΄ ἔκτισεν τὴν Πόλιν εἰς τὰς ια΄ τοῦ Μαΐου ἀπὸ κτίσεως κόσμου.

Εἰς τοὺς ωκθ΄, ἔτος Χριστοῦ, ἄρχισαν νὰ κτίσουν οἱ Βενετζάνοι τὴν Βενετίαν στὸ Ρεάλτο. Καὶ στοὺς ϡλ΄ ἔκτισαν τὸν Ἅγιον Μάρκον.

Εἰς τοὺς ,αρμθ΄ ἔκτισαν τὸ καμπανέλιν τοῦ Ἁγίου Μάρκου

Εἰς τοὺς ,αρξ΄ ἔκαμεν ἀγάπην ὁ βασιλεὺς Φερδέρικος μὲ τὸν πάπα Ἀλέξανδρον.

Εἰς τοὺς ,ρνστ΄ πρὶν τοῦ Χριστοῦ ἐκτίστην τὸ Τουράχη.

Εἰς τοὺς ,αι΄ πρὶν τοῦ Χριστοῦ ἐκτίστην ἡ Μυτιλήνη.

Εἰς τοὺς ,αφμ΄ πρὶν τοῦ Χριστοῦ ἐκτίστην ἡ Ἔγριπος.

Εἰς τοὺς ,αρξβ΄ πρὶν τοῦ Χριστοῦ ἐκτίστην ἡ Ἀνάπολι Δερεάμη ὑπὸ τοῦ Πριάμου βασιλέως.

Εἰς τοὺς ,αφιζ΄ πρὶν τοῦ Χριστοῦ ἔκτισεν ὁ υἱὸς τοῦ ἄνωθεν Πριάμου τὴν Πάντουβαν.

Εἰς τοὺς ,αφνζ΄ πρὶν τοῦ Χριστοῦ ἔκτισεν ὁ νέος Ρώμυλος τὴν Ρώμην.

Εἰς τοὺς ,αρνγ΄ ἀπὸ τοῦ Χριστοῦ ἐπῆραν οἱ Σαρακηνοὶ τὰ Ἱεροσόλυμα ἀπὸ τοὺς Ῥωμαίους.

Εἰς τοὺς ,ασζ΄ ἀπὸ Χριστοῦ ἐπῆραν οἱ Βενετζάνοι τὴν Κρήτην ἀπὸ τοὺς Μόρους Μαΐου ι΄, ὁποῦ τὴν ὥριζεν ὁ ῥῆγας τῆς Σπανίας.

Εἰς τοὺς ,ασμγ΄ ἐπῆραν οἱ Τοῦρκοι τὸ Ἑξαμίλιον.

(Δι' ἑτέρας χειρὸς καὶ μελάνης:)

Στοὺς ,αυνθ΄ ἐπῆραν οἱ Τοῦρκοι τὸν Μυζηθρᾶν.

Στοὺς ,αυο΄ ἐπῆραν οἱ Τοῦρκοι τὴν Ἔγριπον Ἰουλίου κ΄ ἡμέρᾳ Κυριακῇ.

Στοὺς ,αυοζ΄ ἐξοίκισεν ὁ Μπαρπαροῦσος τὰ Δωδεκάνησα.

Στοὺς ,αυοη΄ ἔκαμεν ἀγάπην ὁ σουλτὰν Μεεμέτης μὲ τοὺς Βενετζάνους. Τὸ αὐτὸ ἔτος Αὐγούστου κ΄ ἐπῆρεν ὁ Τοῦρκος τὰ νησία Θιάκην καὶ Λόφιμον καὶ τὴν Ἁγίαν Μάβρα.

Στοὺς ,αυοθ΄ ἐπῆρεν ὁ Ἀχουμάτη μπασᾶς τὸ Ὄτροντος· τὸ αὐτὸ ἔτος ἐπολέμησεν ὁ Μισὲλ - μπασίας τὴν Ῥόδον καὶ δὲν τὴν ἐπῆρεν.

Στοὺς ,αυπ΄ ἐπέθανεν ὁ σουλτὰν Μεεμέτης. Καὶ ἐπολέμησεν ὁ δοῦκας τῆς Καλαβρίας τὸ Ὄτροντο καὶ πῆρεν το.

Στοὺς ,αυϞθ΄ ἐπῆρεν ὁ σουλτὰν Μπαγιαζήτης τὴν Ἔπακτον ἀπὸ τοὺς Βενετζάνους Αὐγούστου κθ΄.

Στοὺς ,αφ΄ ἐπῆρεν ὁ ἄνωθεν τὴν Μοθώνη Αὐγούστου θ΄ καὶ τὴν Κορώνην ἀπὸ τοὺς Βενετζάνους.

Στοὺς ,αφιστ΄ ἐπῆρεν ὁ σουλτὰν Σελίμης τὸ Κάερον Ἰανουαρίου κβ΄. Ἐπόθανε στὴν Πόλιν.

Στοὺς ,αφκ΄ ἐπῆρεν ὁ σουλτὰν Σαλαημάνης τὸ Μπελογράδι.

Στοὺς ,αφκβ΄ ἦλθεν ὁ ἄνωθεν στὴν Ῥόδο μὲ τὴν ἀρμάδαν του Ἰουνίου κστ΄ καὶ στὰς ιζ΄ τοῦ Ἰουλίου ἡμέρᾳ ἕκτη ἔδωσεν πόλεμον μὲ φωτιὰ καὶ ἄλλα πράματα· Καὶ εἰς τὰς δ΄ τοῦ Σεπτεβρίου ἔδωσεν ὁμοίως πόλεμον καὶ ἔβγαλάν τους κακὰ ὄξω.

Στὶς θ΄ ὁμοίως ἔδωσεν πόλεμον μὲ λουμπάρδες καὶ φωτίαν καὶ ἐμουντάραν ἀπάνω καὶ ἐγκρεμνίσουσίν τους καὶ ἐβάλαν φλάμουρα καὶ ἐσκοτώθησαν πολλοὶ Τοῦρκοι Σεπτεβρίου ιζ΄ καὶ πῆραν κακὴν ἡμέρα μὲ φωτιά.

Στὶς κδ΄ ἔδωσεν μέγαν πόλεμον μὲ μίνες καὶ φωτιὰ καὶ ἔσμιξε σπαθὶ μὲ σπαθὶ καὶ κράτηξεν ὁ πόλεμος ὥραις στ΄ καὶ ἐπῆραν καὶ τὸ μπελοβάρδιν τοῦ Σπάνια, καὶ ἐκράτηξεν ὥραις δ΄ καὶ πάλιν τὸ ἐπῆραν καὶ ἔβγαλάν τους ὄξω· καὶ σκοτώθησαν Τοῦρκοι χιλιάδες δ΄. Ὀκτωβρίου ζ΄ ἔδωσεν ὁμοίως πόλεμον καὶ ἀνέβησαν ἀπάνω καὶ ἔβγαλάν τους ὄξω.

Στὶς θ΄ ἔδωσεν ὁμοίως καὶ ἔβγαλάν τους ὄξω.

Στὶς ιζ΄ ἔδωσεν ὁμοίως πόλεμον εἰς τὴν πόρταν τοῦ Ἁγίου Ἀθανασίου καὶ ἀνέβησαν ἀπάνω 'στὸ μπελοβάρδιν καὶ ἐβάλαν φλάμουρα καὶ ἐπολέμησαν σπαθὶν μὲ σπαθὶν ὅλη μέρα καὶ ἔβγαλάν τους ὄξω.

Στὶς κβ΄ ἔδωσαν ὁμοίως πόλεμον στὴν Ὁβριακὴν καὶ ἐσκοτώσαν Τούρκους χιλιάδες στ΄.

Τῷ αὐτῷ μηνὶ κε΄ ἔκαμαν χαλασίαν καὶ ἐμπῆκαν πολλοὶ Τοῦρκοι καὶ ἔβγαλάν τους ἔξω κακῶς ἔχοντα.

Τῷ αὐτῷ μηνὶ κθ΄ ἡμέρᾳ Σαββάτῳ ἐμπῆκαν μέσα στὸ Μανδράκι καὶ ὅσοι ἐμπῆκαν τόσοι ἐπομεῖναν. Δεκεμβρίου κε΄ ,αφκβ΄ ἐπαράδωκάν την τοῦ Τούρκου.

(εἰς τὴν φαν :) Στοὺς 1566 ἐπῆγεν ἡ ἀρμάδα στὴν Μάλτα καὶ ἐσκοτώθην ὁ Τουργούτη μπασᾶς καὶ δὲν τὴν ἐπῆρεν. Καὶ ἐρχόμενοι ἐπῆρεν τὴν Χίο ὁ Πιαλῆ πασᾶς.

Στοὺς ,αφξστ΄ ἐπῆραν τὴν Χίο.

Στοὺς [,αφ]ξθ΄ ἐγίνη ἡ μάχη.

Στοὺς ,αφο΄ ἐπῆραν τὴν Κύπρον ὁ σουλτὰν Σελίμης, τὴν Λευκοσίαν Σεπτεβρίου η΄. Καὶ εἰς τοὺς ,αφοα΄ ἔδωκαν μὲ τὸ θέλημάν τους τὴν Ἀμμόχωστον Αὐγούστου κ΄.

Στοὺς ,αφοα΄ Ὀκτωβρίου η΄ ἡμέρᾳ Κυριακῇ ἐβιστιρίσαν οἱ δύο ἀρμάδες, οἱ Τοῦρκοι μὲ κάτεργα τ΄ καὶ γαλιότες ρ΄ τῆς Μπαρμπαρίας καὶ οἱ Χριστιανοὶ μὲ ρο΄, ὁ Βενετζάνος, καὶ (;) στ΄ χοντρά, καὶ ὁ ρῆγας μὲ τὸν Μάλταν καὶ τοῦ δοῦκα ξ΄, ἀπ᾽ ὄξω ἀπὸ τοὺς Κουτζουλούρους, καὶ ἐκράτηξεν ὁ πόλεμος ὥραις γ΄ καὶ ἐνικῆσαν οἱ Χριστιανοί. Καὶ δὲν ἐγλύτωσαν παρὰ κη΄ τούρκικα κάτεργα μὲ γαλιότες ποῦ τὰ ἐπῆρεν ὁ Λούτζαλης καὶ ἔφυγεν.

(Κατωτέρω φ. 55 α)

† Εἰς 1622 μηνὶ Μαΐῳ ι΄ στραγγουράρισεν ὁ Ταούτι πασᾶς τὸν σουλτὰν Ὀσουμάνην καὶ ἔβαλαν πάλε τὸν τερβίσην τὸν σουλτὰν Μουσταφᾶν βάλλοντάς τον οἱ σπαχῆδες καὶ οἱ γιανιτζάροι ἀπάνω νὰ κάμῃ τοῦτο ὁ Ταούτη πασᾶς.

---

23: ἀντὶ ἐξοίκισεν ὁ Σακκελίων ἐδημοσίευσε: ἐνίκησεν.

## 31

Κῶδ. Ἀθηνῶν 701 φ. 248 β

*Περὶ τῶν Τουρκῶν τῶν βασιλέων ἐν ποίῳ χρόνῳ | ἔλαβαν τὰ κάτωθεν ὑπογεγραμμένα κάστρη: |στωξδ΄ :|*

Ἔτους ἀπὸ Ἀδὰμ ,στωξδ΄ ἐπέρασαν οἱ Τοῦρκοι εἰς τὴν Δύσιν.

Ἔτους ,στωξε΄ ἐπῆραν τὴν Καλλιούπολιν ,στωξε΄.

Ἔτους ,στωοζ΄ ἐπῆραν τὴν Ἀνδριανούπολιν.

Ἔτους ,στϡλη΄ Μαΐῳ κδ΄ ἐπῆρεν τὴν Θεσσαλονίκην τὴν περίφουμον ὁ σουλτὰν Ἀμουράτης.

Ἔτους ,στϡξβ΄ ἐπῆρεν ὁ σουλτὰν Μεχεμέτης τὴν ἀθλίαν Κωνσταντινούπολιν, τὴν βασιλίδα τῶν πόλεων, μηνὶ Μαρτ(ίῳ) κζ΄· ἐβασίλευεν τότε ἐν αὐτῇ Κωνσταντῖνος ὁ πορφυρογεννήτης.

Ἐν ἔτει ,στωξστ΄ ἐκοιμήθη ὁ ἁγιώτατος μητροπολίτης Θεσσαλονίκης | Γρηγόριος ὁ Παλαμᾶς.

Ἔτους ,στϡδ΄ ἔγινε σεισμὸς καὶ ἐχάλασαν τὰ Βοδενά.

Ἔτους ,στϡια΄ ἐχάλασαν τὴν Προῦσαν καὶ τὴν αἰχμαλώτευσαν.

Ἔτους ,στϡιβ΄ ἐγίνη ἡ ἀπιστία τῆς Μεγάλης Βλαχίας: |

Ἔτους ,στϡν΄ ἐπῆραν τὸ Ἑξαμίλι.

Ἔτους ,στϡλη΄ ἐπῆραν τὰ Ἰωάννινα.

|φ. 249 α| Ἔτους ,στϡοη΄ ἐπῆρεν ὁ σουλτὰν Μεεμέτης τὴν Εὔριπον μηνὶ Ἰουλίῳ ιβ΄

Ἔτους ,στϡξδ΄ ἐπῆραν τὴν Κόρινθο καὶ τὸν Μυζηθρᾶ.

Ἔτους ,στϡο΄ ἐπῆραν τὴν Τραπεζοῦντα καὶ ὅλην τὴν περιοχὴν αὐτῆς.

Ἔτους ,στϡοα΄ ἐπῆρεν ὁ Ἀμὰρ μπέης τὸν Ναύπακτον καὶ ἔκαψεν τὸν Γαλατᾶ.

Ἔτους ,στϡπη΄ ἐπῆραν τὴν Κεφαλλονίαν καὶ ὅλα τὰ νησιά.

Ἔτους ,στϡξ΄ ἐπῆραν τὸ Ἀγγελόκαστρον.

Ἔτους ,στϡνζ΄ ἐπῆραν τὴν Ἀρβανιτίαν.

Ἔτους ,ζη΄ ἐπῆραν τὴν Μοθώνην.

Ἔτους ,ζλα΄ ἐπῆρεν τὴν Ῥόδο ὁ σουλτὰν Σουλεημάνης μηνὶ Ἰανουαρίῳ.

Ἔτους ,ζλε΄ ἐπῆγεν ὁ σουλτὰν Σουλεημάνης εἰς τὸ Μπουτούνι.

Ἔτους ,ζλη΄ ἐπῆγεν ὁ αὐτὸς ἀφέντης εἰς τοῦ Μπέτζη.

Ἔτους ,ζμδ΄ ἐπῆγεν ὁ αὐτὸς Σουλεημάνης εἰς τὸν Κιζιλμπάσι καὶ ἔκαμεν χρόνους β΄.

|φ. 249β| Ἔτους ,ζλ΄ ἐπῆρεν ὁ σουλτὰν Σελήμης τὸ Μπελιγράδη.

Ἔτους ,ζκ΄ ἐπῆρεν ὁ αὐτὸς Σελήμης τὸ Κάηρος ἤγουν τὸ Μισίρι.

Ἔτους ,ζμστ΄ ἐκατέβη ὁ σουλτὰν Σουλεημάνης εἰς τοὺς Κορυφοὺς καὶ ἀπότυχεν μετ᾽ αἰσχύνης.

Ἔτους ,στϡξη΄ ἔγινεν κύριον Πάσχα· πάλιν ἕτερον ,ζνα΄ καὶ ἕτερον ,ζξβ΄.

Ἔτους ,στϡξβ΄ ἐπῆρεν ὁ σουλτὰν Ἀμουράτης τὸ Ξαμίλι.

Ἔτους ,στϡοα΄ ἐπῆρεν ὁ αὐτὸς Ἀμουράτης τὴν Μυτιλήνη.

Ἔτους ,στϡπβ΄ ἐπῆρεν ὁ Ἀχουμὰτ μπασίας τὸν Καφᾶ.

Ἔτους ,στχ(;)ϟε΄ ἐπαράλαβαν οἱ Τοῦρκοι τὸν ἅγιον τάφον τοῦ Χριστοῦ.

Ἔτους ,στξ΄ ἐπαράλαβεν τὴν Κωνσταντινούπολιν Ἀνδρόνικος ὁ Παλαιολόγος.

Ἔτους ,στϡξδ΄ ἐπῆραν τὴν Ἀθήνα.

Ἔτους ,ζμθ΄ ἐπῆραν τὸ Ἀνάπλι· ἐπαρεδόθη ὑπὸ τῶν Βενετίκων.

|φ. 250α| Ἔτους ,στϡπθ΄ ἀπέθανεν ὁ σουλτὰν Μεεμέτης· τὸ αὐτὸ ἔτος ἔγινεν αὐθέντης ὁ σουλτὰν Παγιζήτης.

Ἔτους ,εψλθ΄ ἐκτίσθη ἡ Κωνσταντινούπολις.

Ἐκράτησαν δὲ αὐτὴν οἱ Χριστιανοὶ χρόνους ϡοβ΄ καὶ εἰς τοὺς ,στψια΄ τὴν ἐπῆραν οἱ Φράγγοι καὶ ἐκράτησαν αὐτὴν χρόνους νζ΄. Τὴν ἐπῆραν εἰς τὸν καιρὸν τοῦ βασιλέως τοῦ Μούρτζουφλα. Καὶ πάλιν ἐπὶ ἔτους ,στψο΄ τὴν ἐπῆρεν ὁ βασιλεὺς τῶν Ῥωμαίων, ὁ κὺρ Μανουὴλ ὁ Παλαιολόγος καὶ ἐκράτησάν την οἱ Χριστιανοὶ χρόνους ρϟ΄.

Ἔτους ,στϡια΄ ἐπῆραν τὴν Προῦσαν.

*Τὰ σεφέρια ὁποῦ ἔκαμεν ὁ σουλτὰν Μεεμέτης.*

Ἔτους ,στϡνη΄ ἔκαμεν σεφέρι εἰς τὴν Καραμανίαν.

Ἔτους ,στϡνθ΄ ὑπῆγεν εἰς τὸ Στενὸν τῆς Πόλης καὶ ἔκτισεν τὰ Νεόκαστρα.

Ἔτους ,στϡξβ΄ ὑπῆγεν τὸν χειμῶνα εἰς τὴν Ναΐνο καὶ τὸ καλοκαίρι εἰς τὴν Σεμέντριαν.

Ἔτους ,στϡξδ΄ ἐπῆρεν τὸν Μορέαν.

Ἔτους ,στϡξη΄ ἐπῆρεν τὴν Ἄμασδρον καὶ τὸ Σινώπι.

|φ. 250β| Ἔτους ,στϡξθ΄ ὑπῆγεν εἰς τὸν Ζοῦν Χασάνι καὶ εἰς τὸ γύρισμα ἐπῆρεν τὸν Τραπεζόντα.

Ἔτους ,στϡο΄ ὑπῆγεν εἰς τὴν Βλαχίαν εἰς τὸν Αὐδουλὰ βοηβόντα. Τὸν αὐτὸν χρόνον ὑπῆρεν τὴν Μυτιλήνην.

Ἔτους ,στϡοα΄ ἐπῆρεν τὴν Μπόσθνα.

Ἔτους ,στϡοδ΄ ὑπῆγεν εἰς τὸν Καραμάνο.

Ἔτους ,στϡπα΄(;) ὑπῆγεν εἰς τὸν Μπόγδανον καὶ ἐπῆρεν τὰ Κάστρη, ὁποῦ ἔκτισαν οἱ Οὔγγροι.

Ἔτους ,στϡπστ΄ ἐπῆγεν εἰς τὸ Σκουτάρη καὶ δὲν τὸ ἐπῆρεν· καὶ ὕστερον ἐπροσκύνησεν.

Ἔτους ,στϡϞβ΄ ὑπῆγεν εἰς τὸν Μπόγδανον καὶ ἐπῆρεν τὸ Κελλί καὶ εἰς τὰς β΄ τοῦ Αὐγούστου ἐπῆρεν τὸ Ἀσπρόκαστρον.

Ἔτους ,ζστ΄ ἐπῆρεν τὴν Ναύπακτον.

Ἔτους ,ζζ΄ ἐπῆρεν τὴν Μοθωκορώνη καὶ τὸν Ἀναβαρῖνο.

*Τὰ σεφέρια ὁποῦ ἔκαμεν ὁ σουλτὰν Σελήμης*

Ἔτους ,ζκβ΄ μηνὶ Αὐγούστῳ ἐπολέμησεν ὁ σουλτὰν Σελήμης μὲ τὸν Σοφῆ καὶ ἐπῆρεν τὸν τόπον τοῦ Σοφῆ.

|φ. 251α| τὸ αὐτὸ ἔτος ἐπῆρεν τὸ Κιαμάχη.

Ἔτους ,στϡ΄ ἡμέρᾳ Παρασκευῇ αἰχμαλωτίσθη ἡ Ἀνατολὴ παρὰ τοῦ ἐμίρη εἰς τὸν καιρὸν τοῦ βασιλέως τοῦ σουλτὰν Παγιαζίτη.

Ἔτους ,ζιη΄ ἔκτισεν ὁ σουλτὰν Παγιαζήτης τὸ μέρος τῆς Κωνσταντίνου, ὁποῦ τὴν ἐχάλασεν ὁ σεισμός.

Ἔτους ,στϡξδ΄ ἐπῆραν οἱ Τοῦρκοι τὴν Ἀθήνα.

(ἐν τῇ φφ:) Ἔτους ,στϡοζ΄ ἐπῆρεν τὴν Εὔριπον μηνὶ Ἰουλίῳ ιε΄ ἡμέρᾳ ε΄.

Ἔτους ,ζμθ΄ ἐπῆραν τὸ Ἀνάπλη· παρεδόθη ὑπὸ τῶν Βενετίκων. Οταν ἔγινεν αὐθέντης ὁ σουλτὰν Μεεμέτης ἦτο χρονῶν κ΄, μετὰ δὲ τοῦτον ἔγινεν ὁ σουλτὰν Παγιαζήτης.

Ἔτους ,ζκ΄ ἔγινεν αὐθέντης ὁ σουλτὰν Σελήμης ζῶντος τοῦ πατρὸς αὐτοῦ Παγιαζήτη.

Ἐβασίλευσεν ὁ σουλτὰν Μεεμέτης χρόνους κ΄· ὁ σουλτὰν Παγιαζήτης χρόνους λα΄· ὁ σουλτὰν Ἀμουράτης χρόνους κβ΄· ὁ σουλτὰν Σελήμης χρόνους θ΄· ὁ σουλτὰν Σουλεημάνης χρόνους ν΄ καὶ ἀπέθανεν εἰς τὸ Δημησκάρη ἐν ἔτει ,ζοε΄ μηνὶ Ὀκτωβρίῳ.

|φ. 251β| Τὸ αὐτὸ ἔτος ἔγινεν ὁ υἱὸς αὐτοῦ Σελήμης, καὶ ἐχάλασεν καὶ ἐκούρσευσεν τὰ μοναστήρια καὶ ἐπῆρεν τὸν βίον τους· φεῦ τῆς μανίας καὶ ἀπανθρωπίας αὐτοῦ!

Ἔτους ,ζοθ΄ ἐπῆρεν ὁ Πεαλῆ Μπασίας τὴν περίφουμον Κύπρον, ἤγουν τὴν

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

περιοχὴν αὐτῆς καὶ ἔλαβαν ἄπειρον βίον καὶ αἰχμαλώτους οὐκ ὀλίγους, ἄνδρες τε καὶ γυναῖκες καὶ παιδία.

Ἔτους ,ζνβ΄ ἰνδικτιῶνος β΄ μηνὶ Ἀπριλίῳ κβ΄ ἡμέρᾳ ε΄ ἔγινεν σεισμὸς μέγας ἐν τῷ μέρει ἑώας καὶ τὸ Ζητούνι ἀφανίστηκεν τὸ πλεῖστον μέρος· ἀλλὰ καὶ φόνοι ἐγένοντο πολλοὶ καὶ πᾶσα ἡ Ἑλλὰς καὶ ἡ Βλαχία καὶ ἐκράτησεν ἡμέρας πολλάς. Πάλιν ἐν ἔτει ,ζοδ΄ μηνὶ Ἰουλίῳ ια΄ ἡμέρᾳ ε΄ ἔγινεν σεισμὸς μέγας καὶ φοβερώτατος καὶ ἐπεκράτησεν χρόνον α΄ καὶ τὰ μέρη Λιτζᾶς καὶ Ἀγράφων [ἀ]λλὰ καὶ ἡ τοῦ Ραδοβισδίου καὶ ἔπεσον ἐκκλησίαις καὶ οἶκοι οὐκ ὀλίγοι καὶ φόνοι ἄπειροι ἐγένοντο καὶ τὰ ὄρη ἐσπάραξαν.

Ἔτους ,στϡλγ΄ ἔγινεν ἔκλειψις τοῦ ἡλίου.

|φ. 252α| Καὶ πάλιν ἐν ἔτει ,ζμζ΄ ἔγινεν ἔκλειψις τοῦ ἡλίου· καὶ πάλιν ἐν ἔτει ,ζοε΄ ἔγινεν ἔκλειψις τοῦ ἡλίου μηνὶ Μαρτίῳ ἡμέρᾳ στ΄ ὥρᾳ θ΄ τῆς ἡμέρας.

Ἔτους ,ζμστ΄ ἐκατέβη ὁ σουλτὰν Σουλεημάνης εἰς τοὺς Κορυφοὺς καὶ ἀπότυχεν.

Ἔτους ,ζλα΄ ἐπῆρεν ὁ σουλτὰν Σουλεημάνης τὴν Ρόδο μηνὶ Ἰανουαρίῳ.

## 32

Κῶδ. Vatic. gr. 1369 φ. 355 α

† Τοῦ ,ζωϞβ΄ ἐν μηνὶ Σεπτεβρ(ίῳ) ιθ΄ ἐπῆραν οἱ Τοῦρκοι τὰς ἀθλίας Σέρρας.

† Ἔτους ,ζλ΄ Ἰουν(ίῳ) κε΄ ἡμέρᾳ δ΄ ἔδωκεν ὁ Καντακουζηνὸς ὁ κὺρ Μιχαὴλ ὁ τοῦ μεγάλου δομεστίκου υἱός, ἡ τιμὴ τῶν Ῥωμαίων λόγῳ καὶ ἔργῳ, τὸ κοινὸν χρέος ἀπὸ τῆς λοιμώδους νόσου τῆς βοβώνης καὶ ἐθάφη ἐν τῇ ἁγίᾳ Παρασκευῇ.

† Ἔτους ,στ··ζω΄(!) ἐσκοτώθη ὁ ἀμηρᾶς····· εἰς τὴν Σερβίαν μὲ τὸν δεσπότη τὸν Λάζαρον· τὸ αὐτὸ ἔτος ἔγινε μέγας σεισμός.

† Ἔτους ,στϡξστω΄ ἐκατάβη ὁ σουλτὰν Μεχαμέτης εἰς τὸν Μορέαν καὶ ἐπῆρε τὴν Πάτρα καὶ τὸν Ἀετὸν καὶ τὴν Κόρινθον καὶ Ἄκοβα καὶ τὸ Μουχλίν.

† Ἔτους ,στϡοζω΄ ἐπῆρε ὁ σουλτὰν Μεχέμετης τὴν Εὔριπον καὶ ἐδιαγούμισεν τὰ Βασιλικὰ καὶ ὅλους τοὺς Φράγγους ἔκοψαν.

5: κενὸν εἰς τὸ κείμενον 8: κῶδ.: Ἄκοκα.

## 33

Κῶδ. Vatic. Gr. 571 φ. 1β (ιε΄ αἰῶνος).

† Ἔτους ,στωοη΄ ἰνδικτιῶνος η΄, κύκλος ἡλίου ιη΄, κύκλος σελήνης ιθ΄ ἦλθεν ὁ θάνατος τοῦ Οὔγκλεσι.

† τοῦ αὐτοῦ Ἰανουαρίου μηνὸς ἡμέρᾳ β΄ ὥρᾳ γ΄ τῆς ἡμέρας ἐγένετο ἔκλειψις τοῦ ἡλίου· ἔτους ,στωϞβ΄ ἰνδικτιῶνος ζης δ κύκλος ἡλίου δ, κύκλος σελήνης ιδ.

† τῷ ,στϡλβ΄, κύκλος ἡλίου ιστ, κύκλος σελήνης ιστ Φεβρουαρίου α΄ ἡμέρᾳ Τρίτῃ,

πρὶν ἀνατέλλοντος τοῦ ἡλίου, ὥρας(;) ἡμέρα προτοῦ νὰ ξημερώσῃ ἐφάνη πῦρ κατὰ ἀνατολὰς ἐπάνω εἰς τὴν Λῆμνον, μέγαν καὶ φοβερὸν τὴν θέαν.

† τῷ ,στϡλγ΄, ἰνδικτιῶνος γ΄, κύκλος ἡλίου ιζ, κύκλος σελήνης ιζ, Φεβρουαρίου κη΄, ἡμέρα Τετράδη ἐκοιμήθη ὁ μέγας ῥῆγας Βασίλειος, αὐθέντης Μοσκοβίου, γαβρὸς τοῦ Βητέλτου.

## 34

Κῶδ. Ambros. F 12 sup.

(Ἐν τῷ πρώτῳ φύλλῳ τῆς σταχώσεως) Ἐν ἔτει τῷ ,στϡοα΄ μηνὶ Αὐγούστῳ ἐπαρέλαβεν ὁ Μεχετέπεϊς τὴν Μυτιλήνην ἰνδικτιῶνος θ$^{ης}$ καὶ ἔσφαξεν καὶ ὁ υἱὸς αὐτοῦ Φράγγους δ΄.

(Ἐν φ. 302 β ἐν τῇ κάτω ὤᾳ:) Μηνὶ Ἰουνίῳ εἰς τὰς κγ΄ ἡμέρᾳ Πέμπτῃ ἤτοι εἰς ἐξημέρωμαν τοῦ Ἁγίου Ἰωάννου τοῦ Προδρόμου τέτοκα τὸν ὁλοπόθητόν μου υἱὸν κὺρ Ἀλέξιον τὸν Οὐμπερτόπουλον τοῦ ἔτους ,στψπ΄ ἰνδικτιῶνος ιε΄.

(Ἐν φ. 303 α ἐν τῇ κάτω ᾥᾳ:) Σήμερον γέγραφα ἐν ποίῳ καιρῷ ἐγέννησα τὸν περιπόθητόν μοι υἱὸν κὺρ Θεόδοτον τῷ μηνὶ Ἰουνίῳ εἰς τὰς δ΄ ἐπὶ ἔτους ,στψπστ΄ ἰνδικτιῶνος γ΄.

(Ἐν φ. 303 β ἐν τῇ ᾥᾳ:) Τοῦ ἔτους ,στψξθ΄ ἰνδικτιῶνος δ΄ μηνὶ Ιουλίῳ κ΄ ἐν ἡμέρᾳ β ἐπαρέλαβεν ὁ βασιλεὺς ὁ Κομνηνὸς ὁ Παλαιολόγος τὴν Κωνσταντινούπολιν εἰς τὸν τέταρτον χρόνον τῆς βασιλείας αὐτοῦ.

Ὀκτωβρίου κδ΄ ἡμέρᾳ β΄ ὥρᾳ γ΄ ἐν ταύτῃ γὰρ ἐγέννησα τὸν ὁλοπόθητόν μου υἱὸν κὺρ Μιχαὴλ τὸν Κομνηνὸν μηνὶ τῷ προγεγραμμένῳ ἐπὶ ἔτους ,στψξστ΄ ἰνδικτιῶνος β$^{ας}$.

Τήμερον γέγραφα ἐν ποίῳ καιρῷ καὶ ἔτει τέτοκα τὸν ὁλοπόθητόν μοι υἱὸν κὺρ Γ(εώργιο)ν τὸν Καλόθετον, ὅπως ἔσται εἰς ἡμετέραν γνώρισιν τὸν μετέπειτα χρόνον, μηνὶ Φεβρουαρίῳ ε΄ ἡμέρα Κυριακῇ (;) ἐπὶ ἔτους ,στψξθ΄ ἰνδικτιῶνος δ΄.

(Ἐν φ. 304 α) Τήμερον τέτοκα τὰς ὁλοποθήτους μοι θυγατέρας τὴν Καλοθετῖναν καὶ τὴν Κομνηνὴν μηνὶ Ἀπριλίῳ ια΄ ἡμέρᾳ δ΄ ἰνδικτιῶνος ια΄. Τέτοκα αὐτὰς ἐπὶ ἔτους στψοστ΄.

(Ἐν φ. 304 β) Σήμερον γέγραφα ἐν ποίῳ καιρῷ ἐγέννησα τὸν ὁλοπόθητόν μοι υἱὸν κὺρ Δημήτριον τὸν Κομνηνὸν μηνὶ Ὀκτωβρίῳ δ΄ ἡμέρα..

16: κῶδ.: Καθετήναν 19: τὸ τέλος εἶναι κεκομμένον.

## 35

Κῶδ. μονῆς Ρωσσικοῦ 702 φ. 124 β

† Ἐκτίθην ἡ Κωνσταντινούπολις ἔτους ,εωλζ΄.

† Ἐκτίσθην ἡ Ἁγία Σοφία Κωνσταντινουπόλεως ἔτους ,στλθ΄.

† Ἐφάνη ὁ Μωάμεθ ἔτους ,στρκζ΄.

† Ἦλθαν οἱ Τοῦρκοι ἔτους ,στωι΄.

† Ἀνάλωσις τῆς Θεσσαλονίκης ἔτους ,στϡλη΄.

† Ἀνάλωσις τῆς Πόλης ἔτους ,στϡξα΄. Ἡ Εὔριπος ἔτους ,στϡοη΄, ὁ Νέπακτος ἔτους ,ζη΄, ἡ Μοθώνη ἔτους ,ζκ΄, τὸ Μπεληγράδι ἔτους ,ζκθ΄, ἡ Ρόδος ἔτους ,ζλ΄, ἡ Ἀνδριανούπολις ἔτους ,στωοζ΄.

† Τὸ Πριτούνι ἔτους ,ζλε΄.

## 36

Κῶδ. Πάτμου 390 (πβ. Σακκελίωνος, Πατμ. Βιβλιοθ. σ. 117)

Ἰωάννης ὁ τοῦ Ἀνδρονίκου τοῦ Παλαιολόγου υἱός, γαμβρὸς δὲ τοῦ Καντακουζηνοῦ κδ΄· τούτου τῷ πρώτῳ ἔτει τῆς αὐτοῦ βασιλείας διέβησαν οἱ Ἀγαρηνοὶ εἰς τὴν Εὐρώπην, μετὰ δὲ χρόνους ἕνδεκα ἔλαβε καὶ τὴν Καλλιούπολιν ἐν τῷ ,στωξε΄. Ἀνδρόνικος ὁ υἱὸς Ἰωάννου [κ]στ΄, ὁ Ἰωάννης ὁ υἱὸς αὐτοῦ κζ΄(;)· ἐν τῷ ἕκτῳ ἔτει τῆς τούτου βασιλείας ἔλαβε τὴν Ἀνδριανούπολιν ὁ σουλτάνος καὶ καθεξῆς ἤρξατο πλατύνεσθαι καὶ πολεμεῖν Ῥωμαίοις. Μανουὴλ ὁ υἱὸς Ἰωάννου τοῦ γέροντος κζ΄, Ἰωάννης ὁ υἱὸς αὐτοῦ ὁ καὶ τὴν ἐν Φλωρεντίᾳ σύνοδον συγκροτήσας λ΄. Κωνσταντῖνος ὁ ἀδελφὸς δ΄ καὶ ἀπέθανε τῇ ἁλώσει τῆς Πόλεως Μαΐῳ κθ΄ ἰνδικτ. α΄(;) τοῦ στϡξα΄ ἔτους ἡμέρᾳ γ΄ ὥρᾳ πρώτῃ. Ἐνταῦθα ὡς ἕτερον γράφω καὶ τὰ τῶν Ἀγαρηνῶν· ἤρξαντο γὰρ ὡς ἔφην ἀνωτέρω πλατύνεσθαι, μετὰ δὲ τὸ λαβεῖν ταύτην ἐτροπώσατο τὸν δεσπότην κατὰ τὸ ,στωοθ΄ ἔτος· ἐν δὲ τῷ ,στωϞδ΄ ἐγένετο ἔκλειψις ἡλίου ἰνδ. α΄ τὴν πτῶσιν δηλοῦσα τῶν δυστυχῶν Ῥωμαίων. ,στωϞδ΄ ἀπέκτεινε ὁ κράλης Λάζαρος ὁ δεσπότης τὸν σουλτὰν Μουράτην δόλῳ, ἐβασίλευσε δὲ ὁ υἱὸς αὐτοῦ Μπαγιαζήτης· ,στϡια΄ ᾐχμαλώτευσεν ὁ Ντεμηλέκης ὁ Πορθητὴς τὸν σουλτὰν Παγιαζίτην, ἐν δὲ τῷ ,στϡκθ΄ ἐτελεύτησεν ἐν τῇ αἰχμαλωσίᾳ καὶ ἐβασίλευσεν ὁ υἱὸς αὐτοῦ Μουράτης· ,στϡλη΄ ἔλαβε τὴν Θεσσαλονίκην ὁ σουλτὰν Μουράτης ὁ υἱὸς τοῦ Μπαγιαζίτη. ,στϡα΄ ἦλθεν ὁ Ἰάγγος εἰς τὴν Κλεισούραν, καὶ ἐστρατοπέδευσε κατ᾽ αὐτοῦ ὁ σουλτάν· ,στϡνα΄ ἐξ ἀσυνεσίας ἐτελεύτησεν ὁ κράλης εἰς τὴν Βάρναν· ,στϡνστ΄ κατέλυσε τὸ Ἑξαμίλιον ὁ σουλτὰν Μουράτης, εἶτα τελευτᾷ ,στϡνθ΄ Φεβρουαρίου στ΄ καὶ βασιλεύει ὁ υἱὸς αὐτοῦ σουλτὰν Μεχαμέτης, ὃς καὶ τὴν Κωνσταντινούπολιν μετὰ τριετίαν ἔλαβεν ἐκ τοῦ βασιλέως Κωνσταντίνου, καθὰ προεγράψαμεν. Εἶτα στρατεύει κατὰ Πελοποννήσου καὶ λαμβάνει αὐτήν, εἶτα τὴν Εὔριπον, εἶτα τὸν Καφᾶν, εἶτα τὸ Σκουτάριον λεγόμενον, ὕστερον δὲ πάντων τὴν ἁγίαν Μαύραν· εἶτα τελευτᾷ κατὰ τὸ ,στϡπθ΄ Μαΐῳ δ΄ καὶ βασιλεύει ὁ υἱὸς αὐτοῦ σουλτὰν Μπαγιαζίτης κατὰ τὸ αὐτὸ ἔτος Μαΐῳ ιθ΄· Εἶτα στρατεύει κατὰ τοῦ ἀδελφοῦ αὐτοῦ τοῦ Τζάμη· ὁ δὲ Τζάμης κατέφυγεν ἐν τῇ Ρόδῳ. Εἶτα στρατεύει κατὰ Μυσῶν καὶ λαμβάνει τὸ Κελλὶ καὶ τὸ Ἀσπρόκαστρον· εἶτα στρατεύει κατὰ Ἀλβανιτῶν ἐν τῷ Ἰλλυρικῷ κατοικούντων, λαμβάνει δὲ τὸν Ναύπακτον ,ζζ΄ Αὐγούστου κθ΄ κατὰ δὲ τὸ ,ζη΄ τὴν Μεθώνην. Ἐγένετο δὲ σεισμὸς μέγας ἐπὶ τῶν ἡμερῶν τῆς βασιλείας αὐτοῦ, ἤτοι ,ζιε΄ Σεπτεμβρίου ι΄ ἡμέρᾳ γ΄ ὥρᾳ δ΄ τῆς νυκτὸς ἐν Κωνσταντινουπόλει· ,ζιθ΄ πολεμεῖ ὁ υἱὸς αὐτοῦ Σαλήμης καὶ τροπωθεὶς ὑπὸ τοῦ πατρὸς αὐτοῦ φεύγει εἰς τὸν Καφᾶν· ,ζκ΄ Ἀπριλίου κγ΄ ἡμέρα στ΄ ἐγένετο αὐθέντης ὁ σουλτὰν Σαλήμης

ἐκδιώξας τὸν αὐτοῦ πατέρα· μετὰ δὲ τρεῖς μῆνας τελευτᾷ ἐν Σηλυβρίᾳ, ὡς μὲν τινὲς λέγουσιν ὑπὸ πολλῆς λύπης, ὡς δὲ ἄλλοι δηλητηρίῳ φονευθεὶς ὑπὸ τῶν αὐτοῦ υἱῶν δοθέντι. Μοναρχήσας δὲ οὗτος στρατεύει κατὰ τοῦ ἀδελφοῦ αὐτοῦ Ἀχμέτη, εἶτα ,ζκ΄ ἰνδικτ. α΄ ἀπέκτεινε τοὺς ἀνεψιοὺς αὐτοῦ ἐν τῇ Προύσῃ, τὸν Μεχάμετ υἱὸν τοῦ Τζαμισάχ, τὸν Μουσῆ, τὸν Ὀρχὰν καὶ Ἐμήρ, τὸν σουλτὰν Ἀχμάτη, τὸν Ὀσμὰν υἱὸν σουλτὰν Μαλσάχ καὶ τὸν υἱὸν τοῦ σουλτὰν Μεχαμέτ· εἶτα πολεμεῖ μετὰ ἀδελφοῦ Ἀχμάτη καὶ φονεύει νικήσας αὐτόν· ἐν δὲ τῷ ,ζκβ΄ Μαρτίου κ΄ στρατεύει κατὰ τοῦ Σὰχ Ἰσμαὴλ Σοφῆ καὶ νικᾷ τοῦτον ἐν τῷ νῦν λεγομένῳ Τεβρύζη. Εἶτα ἐδιέβη κατὰ τοῦ Ἀνατοβλᾶ καὶ κτείνει τοῦτον καὶ τὸ Καμάχη θρόνον ὄντα τοῦ Σοφῆ· εἶτα ἦλθεν εἰς τὴν Ἀνδριανούπολιν· ,ζκε΄ στρατεύει κατὰ τοῦ Σουλτάνου Μισὴρ καὶ λαμβάνη τὸ Χαλέπη· ,ζκστ΄ παρεχείμασεν ἐν Δαμασκῷ· εἶτα στρατεύει κατ᾽ Αἰγύπτου καὶ λαμβάνει ταύτην, τὸ νῦν λεγόμενον Μισήρι· ἐν δὲ τῷ ,ζκθ΄ τελευτᾷ ἐν τόπῳ λεγομένῳ νῦν Μισήνη, ἔνθα κατὰ τοῦ πατρὸς αὐτοῦ τὸν πόλεμον ἐποιήσατο. Καὶ βασιλεύει ὁ υἱὸς αὐτοῦ σουλτὰν Σουλεημάνης Ὀκτωβρίου α΄.

## 37

Κῶδ. Παρισίων 1001 φ. 131 α - β. (Τὸ φύλλον τοῦτο ιστ΄ αἰῶνος).

,στωνδ΄ ἐπέρασαν οἱ Ὀτμάνιδες εἰς τὴν Εὐρώπην, ὁ σουλτὰν ὁ Μουράτης.
,στωξε΄ ἐπῆρεν τὴν Καλλίπολιν ὁ σουλτὰν ὁ Μουράτης.
,στωοζ΄ ἐπῆρεν τὴν Ἀνδριανόπολιν ὁ σουλτὰν ὁ Μουράτης.
,στωοθ΄ ἐτζάκισεν τὸν δεσπότη ὁ σουλτὰν ὁ Μουράτης.
,στωϟδ΄ ἔγινεν ἔκλειψις τοῦ ἡλίου Ἰανουαρίου α΄.
,στωϟζ΄ ἐσκότωσεν τὸν σουλτὰν Μουράτι ὁ κὺρ Λάζαρος ὁ δεσπότης Ἰανουαρίου κ΄ δόλῳ.
,στωϟζ΄ ἔγινεν ὁ υἱός του σουλτάνος, ὁ Μπαγιαζήτης.
,στϡια΄ αἰχμαλώτισεν ὁ Ντεμηρλένης ὁ Πέρσος τὸν σουλτὰν Μπαγιαζήτι.
,στϡκθ΄ ἐπέθανεν ὁ αὐτὸς εἰς τὴν αἰχμαλωσία.
,στϡλη΄ ἐπῆρεν τὴν Θεσαλονίκη ὁ σουλτὰν Μουράτης, ὁ υἱὸς τοῦ Μπαγιαζήτι.
,στϡα΄ ἦλθεν ὁ Ἰάγγος εἰς τὴν Κλεισοῦραν, καὶ ἐδιέβη κατ᾽ αὐτοῦ ὁ ἀμηρᾶς.
,στϡνβ΄ ἐσκοτώθην ὁ κράλης εἰς τὴν Βάρνα.
,στϡνστ΄ ἐχάλασεν τὸ Ἑξαμίλιν ὁ σουλτὰν Μουράτης.
,στϡνθ΄ τέθνηκεν ὁ σουλτὰν Μουράτης Φεβρουαρίου γ΄.
,στϡνθ΄ ἔγινεν σουλτάνος ὁ υἱός του Μεχέμετης.
,στϡξα΄ αἰχμαλώτισεν τὴν Κωνσταντινούπολιν Μαΐῳ κθ΄ ἡμέρᾳ γ΄.
,στϡξ΄· ἐπῆρεν τὸν Μορέαν ὁ αὐτός.
,στϡ΄·· ἐπῆρεν τὴν Εὔριπον ὁ αὐτός.
,στϡ΄·· ἐπῆρεν τὸν Καφᾶν ὁ αὐτός.
,στϡ΄·· ἐπῆρεν τὸ Σκούταριν ὁ αὐτός.

,στϡ΄.. ἐπῆρεν τὴν Ἁγίαν Μαύραν ὁ αὐτός.

,στϡπθ΄ Μαΐῳ δ΄ τέθνηκεν ὁ σουλτὰν Μεχέμετης ἐν τῇ Ἀσίᾳ εἰς τὸν Τζεσμέ.

,στϡπθ΄ Μαΐῳ ιθ΄ ἐπέρασεν ὁ υἱός του ὁ σουλτὰν Μπαγιαζήτις στὴν Κωσταντινούπολιν.

,στϡ΄.. ἐστράτευσεν κατὰ τοῦ ἀδελφοῦ του Τζέμη.

,στϡ΄.. ἔφυγεν ὁ Τζὲμ σουλτάνος στὴν Ρόδον.

,στϡ΄.. ἐπῆρεν ὁ σουλτὰν Μπαγιαζήτις τὸ Κελλὶ καὶ τὸ Ἀσπρόκαστρο.

,στ΄.. ἐστράτευσεν κατὰ τοὺς Ἀρβανίτας.

,ζζ΄ Αὐγούστου κθ΄ ἑάλω ὁ Ναύπακτος.

,ζη΄ Αὐγούστου θ΄ ἑάλω ἡ Μοθώνη.

|φ. 131 β| ,ζιε΄ Σεπτεμβρίου ι΄ ἡμέρᾳ α΄(;) ὥρᾳ τῆς νυκτὸς δ΄ ἔγινεν μέγας σεισμὸς ἐν Κωνσταντινουπόλει.

,ζιθ΄ Ἰουλίου κη΄ ἡμέρᾳ β΄ ἐπολέμησέν τον ὁ υἱός του ὁ σουλτὰν Σελήμης τὸν πατέρα του, καὶ ἐτζακίστην ὁ Σελήμης καὶ ἔφυγεν τὸν Καφᾶ.

,ζκ΄ Ἀπριλίου κγ΄ ἡμέρᾳ στ΄ ἔγινεν ὁ σουλτὰν Σελήμης αὐθέντης εἰς τὴν Πόλιν.

,ζκ΄ Ἰου..ω ι΄ ἔδωκεν κώνειον τὸν πατὴρ του ἐν Σηλ[υ]βρίᾳ καὶ ἀπέθανεν.

,ζ΄ ἐστράτευσεν κατὰ τοῦ ἀδελφοῦ του σουλτὰν Ἀχμέτι.

,ζκα΄ Ἰανουαρίου ε΄ ἡμέρᾳ δ΄ ἐν Προύσᾳ ἐφόνευσεν τοὺς ἀνεψιούς του, τὸν Μεχέμετι, υἱὸν τοῦ Τζαμισάχ, καὶ Μουσᾶ καὶ Ὀρχὰν καὶ Ἐμὴρ αὐταδελφούς, υἱοὺς σουλτὰν Ἀχμούτι καὶ Ὀσμάν, υἱὸν σουλτὰν Μιλσάχ· ἔτι υἱὸν τοῦ σουλτὰν Μεχέμετι.

,ζκα΄ Ἀπριλίου ἐπολέμησεν τὸν ἀδελφόν του τὸν σουλτὰν Ἀχμάτι καὶ ἐφόνευσέν τον.

,ζκβ΄ Μαρτίου κ΄ ἐστράτευσεν κατὰ τοῦ Σὰχ Ἰσμαὴλ Σοφῆ εἰς τὴν Ἀνατολήν· καὶ ἐδιάβην ὡς τὸ Τεβρήζη καὶ ἐτζάκισέν τον.

,ζκγ΄ ἐδιέβην κατὰ τοῦ Ἀνατοβλᾶ καὶ ἐσκότωσέν τον· τῷ αὐτῷ ἔτει ἐπῆρεν καὶ τὸ Κιαμάχη, τόπον τοῦ Σοφῆ.

,ζκδ΄ Σεπτεβρίου ιη΄ ἦλθεν στὴν Ἀνδριανόπολιν.

,ζκε΄ Αὐγούστου κβ΄ ἐδιέβην κατὰ τοῦ Μισὴρ σουλτάνου καὶ ἐπῆρεν τὸ Χαλέπη.

,ζκστ΄ ἐξεχείμασεν στὴν Δαμασκὸ καὶ ἐδιέβην καὶ ἐπολέμησεν τὸ Μισήρη καὶ ἐπῆρεν το.

,ζκστ΄ Σεπτεβρίου κβ΄ τέθνηκεν ὁ σουλτὰν Σελέμις ἐν τόπῳ ὀνομαζομένῳ χωρίο Μισήρη, ἔνθα ἐπολέμησεν μὲ τὸν πατὴρ του.

,ζκστ΄ τὸ αὐτὸ ἔτος ἦλθεν ὁ σουλτὰν Σουλεημάνης, ὁ υἱός του εἰς τὴν Κωσταντίνου πόλιν καὶ ἐγίνην βασιλεὺς εἰς Ὀκτωβρίου α΄.

(Ἐν τέλει κενοῦ χώρου μείναντος ἐνεγράφησαν χειρὶ νεωτέρᾳ τάδε:).

⟨Ἀ⟩πὸ Χριστοῦ 1566 καὶ ἀπὸ κτίσεως κόσμου 7074, ἰνδικτιῶνος 9, Αὐγούστου 22, ἡμέρᾳ Πέμπτη τέθνηκεν ὁ σουλτὰν Σουλεημάνης εἰς τὴν Ἀλαμάνιαν, πολεμίζοντας τὸ

Σηγηφάρη (;). Τὴν σήμερον ἡμέραν Δευτέρα, Σεπτεβρίου 23, ὥρα τρίτη, ἐν ἔτει 7075, ἰνδικτιῶνος 10, ἦλθεν ὁ υἱός του, ὁ σουλτὰν Σελήμης καὶ μετὰ ἑπτὰ καϊκίων καὶ λυξ( ; ἔπειτα τιλφόβρωτον κενὸν ἑνὸς ἢ δύο γραμμάτων ).

(Ταῦτα ὅλα φθάνουσι μέχρι τέλους τῆς σελίδος, ἣν πληροῦσιν ὅλην. Προστίθενται δ' ἐν τρισὶ στίχοις πλαγίως ἐν τῇ ἀριστερᾷ ᾤα τάδε:).

Τούρκικο ἔτος 982 Δεκεβρίου 22, ἡμέρα Τετράδη ἔγινεν βασιλεὺς ὁ σουλτὰν Μουράτης.

---

36: ἄγνωστον ἂν ἐγράφη Ἰουνίῳ ἢ Ἰουλίῳ, τιλφόβρωτον ἐν τοῖς γράμμασιν νι ἢ λι.

## 38

Κῶδ. Παρισίων 2180 φ. 109 β (ἄλλῃ νεωτέρᾳ χειρί, τοῦ ιστ΄ αἰῶνος).

† Ἔτους ,στπνδ΄ ἐξέβην ὁ δεσπότης καὶ ἔκτισεν τὸ Ἑξαμίλιν καὶ ἐπῆγεν ὁ ἀμηρᾶς καὶ ἐχάλασέν το.

† ἔτους ,στϡμη΄ ἐφάνην ὁ Ἰάγκος καὶ κατὰ τοῦ ,στϡνα΄ ἦλθεν ὁ κράλης καὶ ὁ ἀμηρᾶς ἔδωσεν τὰς κλεισούρας καὶ πάλιν ἐδιάβην καὶ πάλιν ἦλθεν τὸ ,στϡνγ΄ καὶ ἐπολέμησαν εἰς τὴν Βάρναν καὶ ἐσκοτώθην ὁ κράλης· ἤρξατο γὰρ ὁ πόλεμος μηνὶ Νοεβρίῳ ιγ΄ ἡμέρας δ$^{ης}$ ἀπὸ πρωῒ ἕως δύσεως ἡλίου.

† τῷ ,στωξε΄ ἐπῆραν οἱ Τοῦρκοι τὴν Καλλίπολιν. Τῷ δὲ ,στωοζ΄ ἐπῆραν οἱ Τοῦρκοι τὴν Ἀδριανόπολιν.

† τῷ ,στωοστ΄ ἐτζακίστην εἰς τὴν Μαρίτζαν ὁ δεσπότης. Τῷ ,στωϟδ΄ Ἰανουαρίῳ α΄ ἐχάθην ὁ ἥλιος.

† τῷ ,στωϟζ΄ Ἰανουαρίῳ κ΄ ἐσκοτώθην ὁ Μουράτπεης ὁ γέρων ὑπὸ τοῦ δεσπότου κυροῦ Λαζάρου, ὁ καὶ Καζηχοντικὲρ καλούμενος.

† τῷ ,στϡια΄ ἔτει ἐτζακίστην ὁ Παγιαζήτης ὑπὸ τοῦ Τεμοίρη. Τῷ ,στϡκθ΄ ἀπέθανεν ὁ σουλτὰν Μεχεμέτης, ὁ πατὴρ τοῦ σουλτὰν Μουράτη.

† τῷ ,στϡλη΄ ἐπῆραν οἱ Τοῦρκοι τὴν Θεσσαλονίκην.

† τῷ ,στϡνθ΄ ἔτει ἰνδικτιῶνος ιδ΄$^{ης}$ Ἰανουαρίῳ γ΄$^{η}$ ἀπέθανεν ὁ σουλτὰν Μουράτπεης. Τὸν αὐτὸν χρόνον γέγονεν ὁ υἱὸς αὐτοῦ αὐθέντης. Τῷ ,στϡξα΄ μηνὶ Μαΐῳ κθ΄ ἰνδικτιῶνος γ΄ ἐπάρθην ἡ Κωσταντινούπολις παρὰ τῶν Τουρκῶν. Τῷ δὲ ,στϡπθ΄ ἀπέθανεν ὁ σουλτὰν Μεχεμέτης μηνὶ Μαΐῳ δ΄$^{η}$ ἰνδικτιῶνος στ΄$^{ης}$. Τῷ αὐτῷ μηνὶ ιθ΄ ἰνδικτιῶνος ζ΄$^{ης}$ ἦλθεν ὁ υἱός του σουλτὰν Παγιαζήτις εἰς τὴν Πόλιν ὥρᾳ ἕκτη τῆς ἡμέρας, ἰνδικτιῶνος ιδ΄$^{ης}$, ἡλίου κύκλου ιζ΄$^{ου}$, σελήνης κύκλου ιστ΄$^{ου}$.

† (πλαγίως γεγραμμένα:) Ἐβασίλευσεν χρόνους λ΄ ἐγγὺς ὁ σουλτὰν Μουράτης καὶ ὁ σουλτὰν Μαχουμέτης λ΄ ἐγγύς, ἰδοὺ καὶ ὁ σουλτὰν Παγιαζήτης λ΄ ἐγγίζει.

† τῷ ,στωνδ΄ ἐπέρασαν οἱ Τοῦρκοι εἰς τὴν Δύσιν.

† κατὰ τὸ ,στϡκβ΄ μηνὶ Ἰουλίῳ κβ΄ ἡμέρας γ$^{ης}$ ὥρᾳ . . . .

† τῷ ,στϡλγ΄ ἔτος ἀπέτισε τὸ χρέος ὁ εὐσεβέστατος βασιλεὺς κὺρ Μανουὴλ ὁ Παλαιολόγος διὰ τοῦ θείου καὶ ἀγγελικοῦ σχήματος μετονομασθεὶς Ματθαῖος μοναχὸς ἡμέρα ζ$^{η}$.

† κατὰ τὸ ,στϡοη΄ ἐπάρθην ἡ Εὔριπος.

† Ἰστέον ὅτι ἀπὸ τὸ κθ΄ ἔτος τῆς βασιλείας τοῦ βασιλέως κυροῦ Μανουὴλ τοῦ Κομνηνοῦ ἕως τὸ ,ζιδ΄ ἔτη εἰσὶν χρόνοι τκ΄. Ἀπὸ δὲ τοῦ κθ΄ ἔτους τῆς βασιλείας τοῦ αὐτοῦ κυροῦ Μανουὴλ τοῦ Κομνηνοῦ ἦρξεν ἡ καταφορὰ τῶν Ρωμαίων· διὰ τὸ μὴ πείθοντες τὰ τοῦ Θεοῦ, ἀλλὰ μᾶλλον πείθοντες τὰ τῶν ἀνθρώπων ἔπεσον εἰς τὴν δύναμιν τῶν ἀνθρώπων καὶ ἐκατεφθείροντο.

4: κῶδ.: ἔδεισεν. 25: Τὸ τέλος ἔμεινεν ἀσυμπλήρωτον.

## 39

Κῶδιξ Ἐθν. Βιβλιοθ. Ἀθηνῶν ἀριθ. Suppl. 437 φ. 368 β καὶ Suppl. 610 φ. 373 α (ἀντίγραφον Λ. Ν. Πολίτου).

*Περὶ τὰ κάτωθεν κάστρη, ποίῳ χρόνῳ ἐπάρθησ(αν).*

Ἔτους ,στωξε΄ ἀπὸ Ἀδὰμ ἐπῆραν τὴν Καλλιούπολιν.

Ἔτους ,στωοζ΄ ἀπὸ Ἀδὰμ ἐπῆρ(αν) τὴν Ἀδριανούπολ(ιν).

Ἔτους ἀπὸ Ἀδὰμ ,στϡλε΄ Μαΐῳ κδ΄, ἐπῆρ(αν) τὴν Θεσσαλον(ίκην).

Ἔτους ἀπὸ Ἀδὰμ ,στ⟨ϡ⟩ξα΄ Μαΐῳ κθ΄ βασιλεύοντος Κωνσταντίνου τοῦ Παλαιολόγου ἐπάρθ(η) ἡ Πόλις παρὰ τοῦ σουλτὰν Μεεμέτη.

Ἔτους ἀπὸ Ἀδὰμ τοῦ νέου, ἤγουν ἀπὸ τοῦ Χ(ριστο)ῦ ,αυνζ΄ ἐπῆραν τὴν Κόρινθον, τὴν Πάτραν, τὸ Μουχλί, κ(αὶ) τὴν Καστελανίαν.

Ἔτους ἀπὸ Ἀδὰμ ,στϡξδ΄ μηνὶ Ἰουνίῳ ἐπῆραν τὴν Ἀθήνα.

Ἔτους ἀπὸ Ἀδὰμ ,στϡξη΄ ἐπῆραν τὸν Μιζιθρᾶν.

Ἔτους ἀπὸ Ἀδὰμ ,στϡοα΄ μηνὶ Ἀπριλίῳ ἐπαράδωκαν οἱ Ἀργεῖοι τὸ Ἄργος.

Ἔτους ἀπὸ Ἀδὰμ ,στϡοη΄ ἐπαραδόθη ἡ Εὔριπος, μηνὶ Ἰουλίῳ ιβ΄.

Ἔτους ἀπὸ Ἀδὰμ ,ζζ΄ Αὐγούστῳ κθ΄ ἁλώθη ἡ Ναύπακτος.

Ἔτους ἀπὸ Ἀδὰμ ,ζη΄ ἐπάρθη ἡ Μεθώνη. Καὶ τῷ αὐτῷ ἔτει Σεπτεβρίῳ |φ. 369 α| ιζ΄ ἐπροσκύνησαν οἱ Κορωναῖοι.

Ἔτους ἀπὸ Ἀδὰμ ,ζλ΄ μηνὶ Αὐγούστῳ β΄ ἐπῆραν τὸ Ἀμπελογράδι.

Ἔτους ἀπὸ Χ(ριστο)ῦ γεννήσεως, ,αφκβ΄ Δεκεβρίῳ κε΄ ἐπῆρ(αν) τὴν Ῥόδον.

Ἔτους ἀπὸ Χ(ριστο)ῦ γεννήσεως ,αφμ΄ Νοεμβρίῳ κα΄ ἐπῆραν τὸ Ἀνάπλι.

Καὶ τῷ αὐτῷ ἔτει κ(αὶ) τῷ αὐτῷ μηνὶ κδ΄ ἐπῆρ(αν) καὶ τὴν Μονεμβασίαν.

8: ὑπάρχει μόνον εἰς τὸν κώδ. Suppl. 437.—10: κῶδ. 437: ἐπαρέδωκαν.

## 40

Κῶδ. Ἁγ. Νικολάου Ἄνδρου ἀρ. 5. φ. 2 α (Πβλ. Ἐπετ. Παρνασσοῦ 3, 99).

1193 ἐπῆραν οἱ Μόροι τὰ Ἱεροσόλυμα. — 1448 ἐπῆραν οἱ Τούρκοι τὸ Ἑξαμίλι.
1459 ἐπῆραν οἱ Τούρκοι τὴν Πόλιν. — 1470 ἐπάρθη ἡ Ἔγριπος.

1480 ἀπόθανεν ὁ ἀμηρᾶς. — 1499 ἐπάρθη ὁ Ἔπακτος.

1500 ἐπάρθη ἡ Μοθώνη. — 1508 ἔγινεν μέγας σεισμός.

1524 ἔγινεν μέγα θανατικόν. — 1538 ἦλθεν ὁ Παρπαρέζος εἰς τὴν Κρήτην.

1599 ἔγινεν μέγας σεισμὸς Ἰανωαρίου 14. — 1569 ἐπάρθη ἡ Κύπρος.

1571 ἔκαψεν ὁ Ἀλιτζαλῆς τὸ Ρέθεμνος. — 1592 ἔγινεν μέγα θανατικόν.

1595 ἔγινεν μέγας σεισμὸς Νοεμβρίου 16.

1645 Ἰουνίου 12 ἦλθαν οἱ Τοῦρκοι στὰ Χανία καὶ τὰ ἐπῆραν Αὐγούστου 13.

1646 ἐπῆραν τὸ Ρέθεμνος. — 1669 ἐπῆραν τὰ μεγάλα κάστρη.

1715 ἐπῆραν τὸν Μορέα, τὴν Τῆνο, τὴν Σοῦδα καὶ τὴν Σπίνα Λόγκα καὶ ἔγινεν μέγας αἰχμαλωτισμός.

1717 ἔγινεν μέγας σεισμὸς καὶ ἐχάλασαν πολλὰ χωρία.

1718 ἦλθεν θανατικὸν Ἰουνίου 16.

## 41

Κῶδ. Παρισίων 2228 φ. 91 β (ιε´ αἰῶνος).

† Τῇ κη´ τοῦ Ἰουλίου ἡμέρᾳ Παρασκευῇ τῆς ἰνδικτιῶνος ιης´ τοῦ ,στϡι´ ἔτους ἐπολέμησεν ὁ Παγιαζήτ(ης) ὁ καζηχοτηκυάρης (;) ὁ υἱὸς τοῦ Μωράτη εἰς τὴν Ἄγκυραν τὸν Ταμυρλάνη καὶ ἐκατέλυσεν ὁ Ταμυρλάνης τὸν Παγιαζήτ(η) καὶ ἐπίασεν αὐτὸν μετὰ τοῦ υἱοῦ αὐτοῦ.

† Καὶ τῇ ιζ´ τοῦ Αὐγούστου τῆς ἰνδικτιῶνος ιης´ τοῦ ,στϡι´ ἔτους ἦλθεν ὁ υἱὸς τοῦ Ἰσὰχ τζαλαπῆ, ὁ Ὀρχάμπεης εἰς τὴν Μαγνησίαν καὶ ἐσέβην ὡς αὐθέντης.

† Τῇ κ´ τοῦ Αὐγούστου τῆς ἰνδικτιῶνος ιης´ τοῦ ,στϡι´ ἔτους ἐπέρασεν ὁ υἱὸς τοῦ Παγιαζήτ(η) ὁ Μουσουλμὰν τζαλαπῆς μετὰ τοῦ ἀδελφοῦ αὐτοῦ ἐ . . . . εἰς τὴν Καλλίπολιν.

† Τῇ κα´ τοῦ Σεπτεβρίου τῆς ἰνδικτιῶνος ιαης´ τοῦ ,στϡια´ ἦλθεν φοσᾶτον τοῦ Ταμυρλάνη εἰς τὸν κάμπον τοῦ Μαϊομένου καὶ ἐποίησεν κοῦρσος.

8 : κενὸν εἰς τὸ κείμενον.

## 42

Κῶδ. Βιέννης Theol. Graec. N. CCLXI. φ. 261 α (ιστ´ αἰῶνος).

*Περὶ πότε ἐφάνη ὁ Μωάμεθ καὶ πόσοι αὐθένται Ἀγαρηνοὶ εἰσὶν ἀπ' ἀρχῆς ἕως τοῦ νῦν καὶ ἐν ποίῳ ἔτει ἔλαβαν τὰ κάτωθεν κάστρη :*

Ἔτους ,στρκζ´ ἐφάνη ὁ Μωάμεθ.

Οὗτοι εἰσὶν οἱ ἀπ' ἀρχῆς ἡγεμονεύσαντες Ἀγαρηνοί, οἵτινες καλοῦνται Ὀτμανλίδες:

Πρῶτος Ὀτμάνης, δεύτερος Ὀρχάνης, τρίτος Μουράτης, τέταρτος Μπαγιαζήτης, πέμπτος Μαχεμέτης, ἕκτος Μουράτης, |φ. 261 β| ἕβδομος Μαχεμέτης.

Οὗτος ἔλαβε τὴν ἀθλίαν Κωνσταντινούπολιν· καὶ ὡς διαλαμβάνει ὁ χρησμός, ὃς ἦν

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

γεγραμμένος ἐν τῷ τάφῳ τοῦ Μεγάλου Κωνσταντίνου, ὃν ἐξηγήθη ὁ μέγας πατριάρχης Σχολάριος, ὅτι εἰς τὸ ἀπόγονον τούτου μέλλει ἐξολοθρευθείη ἡ βασιλεία αὐτοῦ· ὁ δὲ ἕτερος χρησμός, ὅπερ εὑρίσκεται ἐν τῷ Ξηρολάφῳ ὁμοφωνεῖ τούτου, ὅτι πέντε βασιλεῖς Ἀγαρηνοὶ μέλλει βασιλεύσουν τὴν Κωνσταντινούπολιν, οὓς ἔχει γλυπτοὺς ἐν τῷ κιόνι του αὐτοῦ Ξηρολάφου· καὶ βαστοῦν ἐπὶ χεῖρας γεγυμνωμένα ξίφη.

| φ. 262 α |. Καὶ εἰς αὐτὸ τὸ κιόνι εἰσὶν πᾶσαι αἱ βασιλεῖαι τῆς γῆς, ἀπ' ἀρχῆς ἕως τῆς συντελείας τοῦ αἰῶνος· ἔστι δὲ καὶ ἕτερος χρησμός, ὃς ἔχει ἱστορισμένον ἄρκος ἓν μέγα, ἔχον τέκνα τέσσαρα ἐξ αὐτοῦ κατερχόμενα, ἅτινα ἔχει εἰς τοὺς κόλπους αὐτοῦ, καὶ ἀναθάλει αὐτά. Καὶ αὐτὸ τὸ ἄρκος δηλοῖ τὸν ἐκ τῆς Ἄγαρ πρῶτον βασιλεύσαντα τῆς Κωνσταντινουπόλεως Θεοῦ παραχωρήσει. Τὰ δὲ τέσσαρα αὐτοῦ τέκνα εἰσὶν οἱ τέσσαροι βασιλεῖς, οἱ ἐξ αὐτοῦ γεννηθέντες, οἵτινες Θεοῦ παραχωρήσει καὶ αὐτοὶ μέλλει λαβεῖν τὴν βασιλείαν αὐτοῦ, καὶ γένωσιν διάδοχοι:

| φ. 262 β | Ὄγδοος Μπαγιαζήτης, ἔνατος Σελήμης, δέκατος Σουλεημάνης, ἑνδέκατος Σελήμης.

Οὗτος ἐστὶν ὁ ἐκ τῆς Ἄγαρ πέμπτος βασιλεύς, εἰς ὃν μέλλει λαβεῖν τέλος ἡ βασιλεία αὐτῶν, δηλονότι τῶν Ἀγαρηνῶν, καὶ ἐξολοθρευθείη ἐκ γῆς τὸ ὄνομα αὐτῶν, ὡς οἱ χρησμοὶ ἄνωθεν λέγωσιν· ὃ γένοιτο διὰ πρεσβειῶν τῆς πανυπεράγνου ἁγίας Θεοτόκου, τῆς κυρίας ἡμῶν καὶ σωτηρίας, καὶ πάντων τῶν ἁγίων, ἀμήν.

| φ. 263 α |. Ἰδοὺ καὶ τὰ ἔτη ἐν ποίῳ καὶ ἐν ποίῳ ἔλαβον τὰ κάτωθεν κάστρη.

Ἔτους ἀπὸ Ἀδὰμ ͵στωνδ΄, ἀπὸ δὲ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ νέου Ἀδὰμ ͵ατνδ΄, ἐπέρασαν οἱ Ἀγαρηνοὶ εἰς τὴν Δύσιν.

Ἔτους ͵στωξε΄ ἀπὸ Ἀδάμ, ἀπὸ δὲ τοῦ Χριστοῦ ͵ατξε΄, ἐπῆραν τὴν Καλιούπολιν.

Ἔτους ͵στωοζ΄ ἀπὸ Ἀδάμ, ἀπὸ δὲ τοῦ Χριστοῦ ͵ατοζ΄ ἐπῆραν τὴν Ἀδριανούπολιν.

Ἔτους ͵στωϟε΄ μηνὶ Μαΐῳ η΄ ἐπῆρεν ὁ σουλτὰν Ἀχμάτης τὴν Βέρροια.

Ἔτους ͵στϡλδ΄ | φ. 263 β | ἐπῆρε τὰ Ἰωάννινα.

Ἔτους ἀπὸ Ἀδὰμ ͵στϡλε΄ Μαΐῳ κδ΄ ἐπῆραν τὴν Θεσσαλονίκην.

Ἔτους ἀπὸ Ἀδὰμ ͵στϡνζ΄ ἐπῆραν τὸ Ἑξαμίλι.

Ἔτους ἀπὸ Ἀδὰμ ͵στϡξ΄ ἐπῆραν τὴν Ἄρτα.

Ἔτους ἀπὸ Ἀδὰμ ͵στϡξα΄, ἀπὸ δὲ τοῦ Χριστοῦ ͵αυνγ΄ Μαΐῳ κθ΄, βασιλεύοντος Κωνσταντίνου τοῦ Παλαιολόγου, ἐπαρεδόθη ἡ ἀθλία Κωνσταντινούπολις εἰς χεῖρας τοῦ σουλτὰν Μεχεμέτη, Θεοῦ παραχωρήσει ἕνεκεν τῶν ἡμῶν ἁμαρτιῶν· ἐδυνάστευσε γοῦν τὴν αὐτὴν Κωνσταντινού | φ. 264 α | πολιν χρόνους κη΄, μετὰ δὲ τούτους ἐδούλωσε πολλὰς πόλεις καὶ χώρας.

Ἔτους ἀπὸ Χριστοῦ ͵αυνζ΄ ἐπῆρεν ὁ αὐτὸς αὐθέντης τὴν Κόρινθον, τὴν Παλαιὰν Πάτραν, τὸ Ἀμύκλιον καὶ τὴν Καστελανίαν.

Ἔτους ἀπὸ Ἀδὰμ ͵στϡξδ΄ μηνὶ Ἰουνίῳ ἐπαρεδόθησαν αἱ Ἀθῆναι.

Ἔτους ἀπὸ Ἀδὰμ ͵στϡξστ΄ ἔλαβε τὸ Ἀγγελόκαστρον.

Ἔτους ἀπὸ Ἀδὰμ ͵στϡξη΄, ἀπὸ δὲ τοῦ Χριστοῦ ͵αυξ΄ ἦλθεν ὁ αὐτὸς αὐθέντης εἰς τὴν Λακεδαιμονίαν, καὶ ἐπαρεδόθη ὁ δεσπότης κύρις Δημήτριος, | φ. 264 β | καὶ οὕτως ἔλαβε τὴν αὐτὴν Λακεδαιμονίαν.

Ἔτους ἀπὸ Ἀδὰμ ͵στϡο΄ ἁλώθη ἡ Τραπεζοῦντα.

Ἔτους ͵στϡοα΄ ἀπὸ Ἀδὰμ μηνὶ Ἀπριλίῳ ἐπαρέδωκαν οἱ Ἀργεῖοι τὸ Ἄργος εἰς χεῖρας τῶν Ἀγαρηνῶν.

Ἔτους ἀπὸ Ἀδὰμ ͵στϡοβ΄ μηνὶ Ἰουλίῳ ια΄ ἔλαβαν τὴν Μιτυλήνη.

Ἔτους ἀπὸ Ἀδὰμ ͵στϡοη΄, ἀπὸ δὲ τοῦ Χριστοῦ ͵αυο΄ Ἰουλίῳ ιβ΄ ἐπαρεδόθη ἡ Εὔριπος εἰς χεῖρας τῶν αὐτῶν Ἀγαρηνῶν.

Ἔτους ἀπὸ Ἀδὰμ ͵στϡπγ΄, ἀπὸ δὲ τοῦ Χριστοῦ ͵αυοε΄ | φ. 265 α | μηνὶ Ἰουλίῳ, ἁλώθη ὁ Καφᾶς.

Ἔτους ἀπὸ Ἀδὰμ ͵στϡπζ΄ ἐπῆραν τὴν ἁγίαν Μαύραν.

Ἔτους ͵στϡπθ΄ ἀπὸ Ἀδὰμ Μαΐῳ γ΄ ἐτελεύτησεν ὁ αὐτὸς σουλτὰν Μεχεμέτης· καὶ τῇ ιθ΄ τοῦ αὐτοῦ μηνὸς ἐλήλυθεν ὁ υἱὸς αὐτοῦ σουλτὰν Παγιαζήτης εἰς τὴν Κωνσταντινούπολιν καὶ ἔλαβε τὴν βασιλείαν· καὶ μετὰ δύο ἔτη ἐστράτευσε κατὰ Κελλίου καὶ Ἀσπροκάστρου.

Ἔτους ἀπὸ Ἀδὰμ ͵στϡϞε΄ ἐκτίσθη ἡ Πρέβεζα.

Ἔτους ἀπὸ Ἀδὰμ ͵ζζ΄ μηνὶ Αὐγούστῳ κθ΄ ἁλώθη ἡ Ναύπακτος, ἣν ὥριζαν οἱ Βε | φ. 265 β | νέτικοι.

Ἔτους ͵ζη΄ ἀπὸ Ἀδάμ, ἀπὸ δὲ Χριστοῦ ͵αφ΄ Αὐγούστῳ θ΄ ἔλαβαν τὴν Μεθώνην, ἣν ὥριζαν καὶ αὐτὴν οἱ Βενέτικοι καὶ ἔκοψαν οἱ Ἀγαρηνοὶ ὅλον τὸν λαὸν τῶν Χριστιανῶν καί, λαβόντες τὰς κεφαλὰς αὐτῶν καὶ τὰ ὀστέα, ἔκτισαν πύργον, ὃς ὁρᾶται ἕως τοῦ νῦν.

Τῷ αὐτῷ ἔτει, Σεπτεβρίῳ ζ΄, ἔλαβαν καὶ τὴν Κορώνην, ἥτις πόλεμον οὐκ ἐποίησεν· ἀλλ' οἱ εὑρισκόμενοι ἔσω, δηλαδὴ οἱ πρόκριτοι καὶ οἱ ἕτεροι ἐξέβησαν ἔξω καὶ ἐπορεύθησαν ἐν τῷ τόπῳ, ὃ ⟨που;⟩ ἐκαθέζετο ὁ αὐτὸς | φ. 266 α | αὐθέντης σουλτὰν Παγιαζίτης, καὶ ἐπροσκύνησαν αὐτὸν πάντες, καὶ ἐπαρέδωκαν τὸ κάστρον εἰς χεῖρας αὐτοῦ μετὰ πάντων τῶν ἁρμάτων, καθὼς ἦν ὡπλισμένον, ἤτοι σκευῶν, καὶ τῶν ἑτέρων· οὓς ἰδὼν ὁ αὐτὸς αὐθέντης ἔλαβε χαρὰν μεγίστην καὶ ἐποίησεν αὐτοὺς ἐλευθέρους ἐκ παντὸς βάρους τῆς βασιλείας αὐτοῦ· ὥριζαν δὲ καὶ αὐτὴν τότε οἱ Βενέτικοι.

Ἔτους ͵ζιβ΄ ἀπὸ Ἀδάμ, ἀπὸ δὲ τοῦ Χριστοῦ ͵αφιγ΄ μηνὶ Ἀπριλίῳ, ἐδιώχθη ἀπὸ τὴν βασιλείαν ὁ αὐτὸς σουλτὰν | φ. 266 β | Παγιαζήτης παρὰ τοῦ υἱοῦ αὐτοῦ σουλτὰν Σελήμη· ὁ δ' αὐτὸς σουλτὰν Σελήμης, τοῦ κράτους ἤδη καὶ τῶν σκήπτρων ἀναλαβών, εὐθὺς κατὰ Περσῶν στρατεύει· τροπώσας γοῦν καὶ νικήσας, ἐλήλυθεν εἰς τὸν θρόνον αὐτοῦ εἰς τὴν Κωνσταντινούπολιν.

Ἔτους ἀπὸ Αδὰμ ͵ζκ΄ ἔλαβεν ὁ αὐτὸς σουλτὰν Σελήμης τὸ Κάερος, ἤγουν τὸ Μισίρη.

Ἐν τῷ αὐτῷ ἔτει τῷ ͵ζκ΄ ἐτελεύτησεν ὁ ῥηθεὶς σουλτὰν Παγιαζήτης ἔξω τοῦ θρόνου τῆς βασιλείας αὐτοῦ.

Τότε μετὰ τὴν τελευτὴν τούτου |φ. 267 α| ἦλθεν εἰς πόλεμον ὁ αὐτὸς υἱὸς αὐτοῦ σουλτὰν Σελήμης μετὰ τοῦ ἰδίου ἀδελφοῦ σουλτὰν Ἀχμάτη καὶ ἐπίασεν αὐτὸν μετὰ δόλου καὶ ἐθανάτωσεν αὐτόν. Ὁμοίως ἐπίασεν καὶ τὸν ἕτερον ἀδελφὸν αὐτοῦ τὸν σουλτὰν Κουρκούτη μετὰ δόλου καὶ ἐθανάτωσεν καὶ αὐτόν.

Ἔτους ἀπὸ Ἀδὰμ ,ζκθ' Σεπτεβρίῳ κστ´ ἐτελεύτησεν ὁ αὐτὸς σουλτὰν Σελήμης βασιλεύσας ἔτη θ'· ὑπῆρχε δὲ ἀνὴρ ἀνδρεῖος, σώφρων καὶ δίκαιος καὶ ὠφέλει τὰ μέγιστα τὸ γένος τῶν Χριστιανῶν καὶ μάλιστα τὰς ἐκκλησίας.

|φ. 267 β| Καὶ ἐν τῷ καιρῷ τῆς ἡγεμονίας αὐτοῦ ἀνηγέρθησαν πολλαὶ Ἐκκλησίαι τῶν Χριστιανῶν, διότι ἔδωκαν ἁπλῆν ἄδειαν καὶ ἐξουσίαν ἵνα ἀνεγείρουν τὰς παλαιὰς ἐκκλησίας πάντας (!) καὶ καλλωπίζουν αὐτάς· καὶ σὺν τὰς παλαιὰς ἐκκλησίας, ἃς ἔκτιζαν, ἐποίησαν καὶ πολλὰς νέας ἐκ θεμελίων.

Τῷ αὐτῷ ἔτει τῷ ,ζκθ´ μηνὶ Ὀκτωβρίῳ ἔλαβεν τὴν αὐθεντίαν ὁ υἱὸς αὐτοῦ ὀνόματι σουλτὰν Σουλεημάνης καὶ ἐκάθισεν εἰς τὸν θρόνον τῆς βασιλείας εἰς τὴν Ἀδριανούπολιν· ὑπῆρχε δὲ ἐτῶν εἰκοσιτρίων.

|φ. 268 α| Πρὶν βασιλεῦσαι ὁ αὐτὸς σουλτὰν Σουλεημάνης, ἐπορεύθη εἷς Ἑβραῖος μάγος πρὸς αὐτὸν καὶ εἶπεν αὐτοῦ: γίνωσκε, κύριέ μου, ὅτι σὺ μέλλει ἵνα λάβῃς τὴν βασιλείαν μετὰ τὸν θάνατον τοῦ πατρός σου. Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτῷ· ἐν ποίῳ καιρῷ· καὶ ὁ Ἑβραῖος ἔφη· τρία στοιχεῖα γραμμάτων διδάσκουσί με περὶ τούτου καὶ οὐκ οἶδα, εἰ χρόνοι εἰσὶν ἢ μῆνες, ὅπερ λαμβάνεις τὴν βασιλείαν. Ἀκούσας δὲ ὁ σουλτάνος οὕτως, ἔφη τῷ Ἑβραίῳ· εἰ εὑρεθῇς ἀληθής, δώσω σοι τιμὰς μεγάλας καὶ χρήματα· καὶ οὕτως ἐζήτησεν ὁ Ἑβραῖος |φ. 268 β| καὶ ἔλαβεν παρ' αὐτοῦ ἔγγραφον γράμμα. Ὅμως κατὰ τὸν λόγον ὅπερ εἶπεν ὁ Ἑβραῖος οὕτως ἐγένετο· ἤτοι μετὰ τρία ἔτη ἔλαβε τὴν βασιλείαν, ὅτι τὰ τρία στοιχεῖα ἐκεῖνα, ἃ εἶπεν ὁ Ἑβραῖος ἦσαν χρόνοι. Καὶ ἰδὼν ὁ αὐθέντης ὅτι εὑρέθη ἀληθὴς ὁ Ἑβραῖος ἐθαύμασεν τὰ μέγιστα καὶ ἔδωκεν αὐτῷ τὰς τιμὰς καὶ τὰ χρήματα ὡς ὑπεσχέθη. Τότε ἐρώτησε τὸν αὐτὸν Ἑβραῖον τί μέλλει γενέσθαι περὶ τῆς βασιλείας αὐτοῦ· ὁ δὲ Ἑβραῖος ὡς ἐχθρὸς μέγας τῶν Χριστιανῶν εἶπε τοῦ αὐθεντός· ὅτι οἱ Χριστιανοὶ οἳ κατοικοῦν τανῦν εἰς τὴν Κωνσταντι|φ. 269 α|νούπολιν μέλλει ποιήσουν στάσιν καὶ ἐπιβουλία κατὰ τῆς σῆς βασιλείας εἰς τὸ ποιῆσαι ἕτερον βασιλέα. Ὁ δὲ αὐθέντης ἀκούσας οὕτως ἐγένετο ὅλος θυμῷ καὶ ὀργῇ κατὰ τῶν Χριστιανῶν καὶ παρευθὺς ἀπέστειλεν καὶ ἦλθον οἱ τέσσαροι μπασάδες αὐτοῦ. Τότε ἄρχισε καὶ εἶπεν τοὺς λόγους τοῦ Ἑβραίου καὶ τὴν ἀπόφασιν ἣν ἐποίησεν, ὅπως ἀποκεφαλίσῃ πάντας τοὺς Χριστιανούς, ὡς ἐπιβούλους τῆς βασιλείας καὶ τῆς ζωῆς αὐτοῦ. Ὁ δὲ ἀκοίμητος ὀφθαλμὸς τοῦ Θεοῦ, ὁ ποιῶν τὰ δυνατὰ ἀδύνατα καὶ τὰ ἀδύνατα δυνατά, αὐτοῦ σοφίᾳ ἀπεκρίθη ὁ πρῶτος τῶν πασιάδων ὀνόματι |φ. 269 β| Πυρῆ μπασᾶς, καὶ εἶπεν οὕτως: σουλτάνε μου, τοιαῦτα μεγάλα πράγματα γινώσκομεν ὅτι παρὰ Θεῷ εἰσίν, καὶ εἰ μὲν εἰσὶν παρὰ Θεῷ, οὐ δυνάμεθα ἐναντιηθῆναι τὴν βουλὴν καὶ θέλησιν τοῦ Θεοῦ, ὅτι ὅσα θέλει γίνονται· εἰ δὲ καὶ παρὰ ἀνθρώπων εἰσὶν αἱ τοιαῦται βουλαί, ἄφες ἡμᾶς τοὺς δούλους σου ποιήσωμεν ἀκριβὴν ἐξέ-

τασιν περὶ τούτου· καὶ εἰ ἀληθεῖς εἰσίν, ποιήσεις τὴν ἐκδίκησιν. Καὶ οὕτως ἔπαυσε τὸν θυμὸν καὶ τὴν ὀργὴν τοῦ αὐθεντός, καὶ ἐλευθερώθησαν οἱ ἐλεεινοὶ Χριστιανοὶ ἐκ τὴν ἀδικίαν καὶ συκοφαντίαν τοῦ μιαροῦ Ἑβραίου.

|φ. 270α| Ἔτους ἀπὸ Ἀδὰμ ζλ´ μηνὶ Ἰουνίῳ, ἐποίησεν ὁ αὐτὸς σουλτὰν Σουλεημάνης στρατὸν ἱππέων καὶ πεζῶν χιλιάδας ἑκατὸν καὶ ἐπορεύθη εἰς τὴν Οὑγκρίαν· καὶ ἐπολέμησε τὸ Ἀμπελογράδι καὶ τῇ β´ τοῦ Αὐγούστου μηνὸς ἔλαβεν αὐτὸ καὶ οὕτως ἐπέστρεψεν εἰς τὴν Ἀδριανούπολιν.

Ἔτους ἀπὸ τῆς ἐνσάρκου οἰκονομίας τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ͵αφκβ´ ἐποίησεν ὁ αὐτὸς σουλτὰν Συυλεημάνης στρατὸν διὰ ξηρᾶς καὶ θαλάσσης χιλιάδας διακοσίας, πλευσίματα μεγάλα καὶ μικρὰ διακόσια |φ. 270β| ἑβδομήκοντα, καὶ ἐπολέμησε τὴν Ῥόδον· καὶ τῇ εἰκοστῇ πέμπτῃ τοῦ Δεκεμβρίου μηνὸς ἐπαρεδόθη ἡ αὐτὴ ἀθλία, ἡ πρώην περίφημος εἰς χεῖρας αὐτοῦ· καὶ ὁ μεγαλειό(τα)τος αὐθέντης μέγας μαΐστορας καὶ πάντες οἱ ἄρχοντες αὐτοῦ καὶ πολλοὶ ἄλλοι ἐκ τοῦ κοινοῦ λαοῦ ἐξέβησαν ἀπ᾽ ἐκεῖσε λαβόντα πάντα τὰ ἄρματα καὶ τὰς καμπάνας καὶ πάντα τὰ πλευσίματα, ἃ εἶχον, ὅτι οὕτως ἐσυμφώνησαν μετὰ τοῦ αὐτοῦ σουλτάνου, πρὶν λαβεῖν τὸ ἐλεεινὸν κάστρον τὸ ἐξακουστόν.

|φ. 271α| Ἔτους ἀπὸ τῆς ἐνσάρκου οἰκονομίας τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ͵αφλβ´ ἔλαβεν ὁ ὑψηλότατος πρίγγιπος μισὲρ Ἀνδρέας Ντόριας τὴν Κορώνη ἐκ χεῖρας τῶν Ἀγαρηνῶν.

Ἔτους ἀπὸ Χριστοῦ γεννήσεως ͵αφμ´ μηνὶ Νοεμβρίῳ κα´, ἡμέρᾳ Κυριακῇ, ἔλαβε τὸ ἐλεεινὸν Ναύπλιον ὁ Κασὶμ πασιᾶς ἀπὸ τοὺς Βενετίκους. Ἦν δὲ τότε βίτζο γενεράλες μισὲρ Ἀλισάνδρο Κονταρῆς, ὃς ἐπαρέδωκεν αὐτὸ κατὰ τὸν ὁρισμὸν τῆς ἐκλαμπροτάτης αὐθεντίας τῶν Βενετιῶν· καὶ βάϊλος ἦν μισὲρ Φραντζέσκος Μπάρμπαρος |φ. 271β|, οἵτινες ἔλαβον πάντα τὰ ἄρματα σὺν ταῖς σκευαῖς καὶ τὰς καμπάνας, καὶ ἐκ τὸν λαὸν ἐξέβησαν μέρος καὶ οἱ ἕτεροι, τὸ πλῆθος, ἔμειναν εἰς τὰς οἰκίας αὐτῶν.

Τῷ αὐτῷ ἔτει καὶ τῷ αὐτῷ μηνί, τῇ εἰκοστῇ τετάρτῃ αὐτοῦ ἔλαβεν ὁ τζαούσιος τὴ Μονεμβασία ἀπὸ τὰς χεῖρας τοῦ αὐτοῦ αὐθεντὸς τοῦ Κονταρῆ, τοῦ βίτζε γενεράλε· ἦν δὲ ποδεστᾶς Γαρτζόνης. Καὶ πάντα τὰ ἄρματα ἔλαβεν ὁ αὐτὸς αὐθέντης ὁ γενεράλες· καὶ ἐκ τοῦ λαοῦ οἱ μὲν ἐξέβησαν, οἱ δὲ ἔμειναν. Λαβὼν δὲ ταῦτα τὰ κάστρη ὁ αὐτὸς Κασὶμ πασᾶς, ἐγένετο στερεὰ εἰρήνη |φ. 272α| ἀναμέσον τοῦ μεγάλου αὐθεντὸς καὶ τῆς ἐκλαμπροτάτης αὐθεντίας τῶν Βενετιῶν.

Ἔτους ἀπὸ τῆς ἐνσάρκου οἰκονομίας τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ͵αφνθ´ ἔδειξεν ὁ Θεὸς σημεῖον τοιόνδε εἰς τὴν Κωνσταντινούπολι. Τῇ μεγάλῃ Κυριακῇ τοῦ Πάσχα, ἐν τῷ μεσονυκτίῳ ἠγέρθησαν ἐκ τοῦ ὕπνου οἱ χογγιάδες, ἤτοι οἱ προεστοὶ τῶν γραμματέων τῶν Ἀγαρηνῶν καὶ ἐπορεύθησαν εἰς τὴν Ἁγίαν Σοφίαν ⟨ἵνα⟩ ψάλωσιν κατὰ τὸ μιαρὸν σύνηθες αὐτῶν. Καὶ ὡς ἦλθον εἰς τὰ προαύλια τοῦ ναοῦ, ἤκουσαν ψαλμῳδίας θαυμασίας καὶ ὡραίας, |φ. 272β| καὶ εἶδον φῶς μέγα ἐν τῷ ναῷ· καὶ πλησιάσαντες εὗρον τὰς πύλας τοῦ ναοῦ ἀνεῳγμένας καὶ αἱ ψαλμῳδίαι ἔλεγον τὸ Χριστὸς ἀνέστη ἐκ νεκρῶν. Καὶ ὡς

ἤκουσαν καὶ εἶδον οὕτως, ὑπέστρεψαν δρομαῖοι εἰς τὸν ἡγεμόνα καὶ ἀπήγγειλαν τὰ γενόμενα· καὶ ἀκούσας οὕτως ὁ ἡγεμών, κατεπλάγη θαυμάσας μεγάλως· καὶ ἐλθὼν σωματικῶς ἐν τῷ ναῷ τῆς Ἁγίας Σοφίας, ἤκουσε καὶ εἶδεν ἐν ὀφθαλμοῖς τὰ παρὰ τῶν χογγιάδων λαληθέντα. Τότε ἐκέλευσεν ἵνα ἀναβοῦν οἱ ὑπηρέται αὐτοῦ, ἤτοι οἱ Γενιτζάροι εἰς τὰ κατηχούμενα τοῦ ναοῦ καὶ |φ. 273 α| θεωρήσουν μήπως εἰσὶν αἱ ψαλμῳδίαι παρὰ ἀνθρώπων, καὶ ἀποκεφαλίσῃ πάντας τοὺς Χριστιανούς· καὶ ὡς ὥρμησαν οἱ ὑπηρέται τοῦ ἡγεμόνος ποιῆσαι τὸ προσταχθέν, ἔπαυσαν παρευθὺς αἱ ψαλμῳδίαι καὶ τὸ φῶς ἐξέλιπεν. Καὶ τότε ἐγνώρισεν ὁ ἡγεμὼν ὅτι παρὰ Θεῷ ἦσαν καὶ αἱ ψαλμῳδίαι καὶ τὸ φῶς, καὶ ἔλαβε φόβον μέγαν περὶ τῆς ἡγεμονίας αὐτοῦ καὶ τῆς ζωῆς, μήπως ἐστὶν τὸ τέλος.

Ἔτους ἀπὸ Χριστοῦ γεννήσεως ,αφνγ´ Αὐγούστῳ κη´ ἐποίησεν πλεῖστον στρατὸν ὁ αὐτὸς σουλτὰν |φ. 273 β| Σουλεϊμάνης κατὰ τῆς Περσίας. Καὶ ἀπερχόμενος ἐκεῖσε, ἐξέβη ὁ υἱὸς αὐτοῦ ὀνόματι σουλτὰν Μουσταφᾶς, ὃς ἐφίλει λίαν τὸ γένος τῶν Χριστιανῶν, εἰς προσκύνησιν τοῦ αὐτοῦ πατρὸς αὐτοῦ· ὃν λαβὼν ἐθανάτωσεν. Καὶ ἀκούσας ἅπας ὁ στρατὸς τὸ ἐλεεινὸν τοῦτο πρόσταγμα ἵνα θανατώσῃ πατὴρ τὸν ἴδιον υἱόν, ἔκλαυσαν πάντες καὶ ἐθρήνησαν οὐ μικρῶς εἰς τὴν ἀσπλαγχνίαν τοῦ ἀσεβοῦς καὶ ἀναιδεστάτου πατρός· καὶ οὐ μόνον τοῦτο τὸ ὑπερθαύμαστον ἐποίησεν ὁ ἀσεβὴς ἵνα θανατώσῃ τὸν υἱὸν αὐτοῦ, ἀλλ᾽ ὡς ἐπέστρεψεν εἰς τὴν βασιλεύουσαν |φ. 274 α| ἐν τῷ ἅμα ἀπέστειλεν τὸν εὐνοῦχον αὐτοῦ ὀνόματι Πραϊνπασᾶ καὶ ἐθανάτωσε καὶ τὸν ἔκγονα αὐτοῦ ἐν τῇ Προύσῃ, τὸν υἱὸν τοῦ αὐτοῦ υἱοῦ, αὐτοῦ τοῦ ῥηθέντος ποτὲ σουλτὰν Μουσταφᾶ· καὶ ἐγένετο μέγα θρῆνος παρὰ παντὸς ἔθνους. Ὢ τῆς ἀσπλαγχνίας! Ὢ τῆς ἀπανθρωπίας! Ὢ τῆς παρανομίας τοῦ ἀσεβοῦς! Διὰ τὸν πόθον τῆς γυναικὸς αὐτοῦ ἐποίησε ταῦτα πάντα καὶ ἐθανάτωσε τὸν ἴδιον υἱὸν καὶ ἔκγονα, θέλων ποιῆσαι τὸ θέλημα αὐτῆς τῆς ἰδίας γυναικὸς αὐτοῦ.

|φ. 274 β| Ἔτους ἀπὸ Ἀδὰμ ,ζοδ´ κατὰ μῆνα Αὔγουστον στρατεύσας ἐν τῇ Οὐγγρίᾳ καὶ Ἀλαμανίᾳ ὁ αὐτὸς σουλτὰν Σουλεϊμάνης κἀκεῖ ἐτελεύτησεν. Ἦλθεν καὶ ὁ σουλτὰν Σελήμης, ὁ υἱὸς τοῦ αὐτοῦ ποτὲ σουλτὰν Σουλεϊμάνη, ἀπὸ τὴν Ἀμάσειαν εἰς τὴν Κωνσταντινούπολιν μηνὶ Σεπτεβρίῳ κγ´· καὶ τῇ κδ´ τοῦ αὐτοῦ μηνὸς ἐπροσκύνησεν τὰ μαρέτια τὰ αὐθεντικὰ Μωάμετ, Παγιαζήτη, Σελήμ, καὶ Σουλεϊμάν· καὶ τῇ κε´ δηλαδὴ τοῦ αὐτοῦ Σεπτεβρίου μηνὸς ἐκάθισεν εἰς τὸν τοῦ πατρὸς αὐτοῦ θρόνον, καὶ αὐθέντης |φ. 275 α| ἀνηγόρευται. Καὶ τῇ κστ´ τοῦ αὐτοῦ μηνὸς ἐξέβη ἐκ τὴν Κωνσταντινούπολιν καὶ ἀπῆλθεν εἰς τὸ φουσᾶτον ἐν τῇ Οὐγγρίᾳ, ἔνθα ὁ πατὴρ αὐτοῦ ἐτελεύτησεν.

Οὗτος ὁ σουλτὰν Σελήμης ἐστὶν ὁ πέμπτος βασιλεύς, ὃς ἐβασίλευσεν τὴν Κωνσταντινούπολιν· περὶ οὗ διαλαμβάνω ἄνωθεν, ὅτι εἰς αὐτὸν μέλλει φθαρῆναι καὶ συντριβῆναι πᾶσα ἡ δύναμις τῶν ἀθέων Ἀγαρηνῶν καὶ τελείως ἀφανισθῆναι ἡ βασιλεία αὐτῶν ἀπὸ προσώπου τῆς γῆς.

|φ. 275 β|. Αἱ παροῦσαι πόλεις ἐκτίσθησαν πρὶν τοῦ Χριστοῦ, ἤτοι τῆς κατὰ σάρκα γεννήσεως αὐτοῦ.

Τὸ Δυρράχιον χρόνους ,αφξ´, ἡ Μιτυλήνη χρόνους ,αφι´, ἡ Εὔριπος χρόνους

,αφμζ΄, ἡ Γένοβα χρόνους ,αφζ΄, ἡ Νεάπολι ντεριάμε χρόνους ,αφξβ΄, ἡ Πάδουβα χρόνους ,αφιη΄.

Ἡ Ρώμη ἐκτίσθη παρὰ Ῥωμύλου χρόνους ,α.

*Περὶ τῆς Κωνσταντινουπόλεως καὶ τῆς Ἁγίας Σοφίας πότε ἐκτίσθησαν.*

Ἔτους ἀπὸ Ἀδὰμ ,εψοη΄, ἀπὸ δὲ τοῦ Χριστοῦ ,σο΄ |φ. 276 α| ἔκτισεν ὁ μέγας Κωνσταντῖνος τὴν Κωνσταντινούπολιν, τὴν βασίλισσα τῶν πόλεων.

Τῷ ,στπμθ΄ ἔτει ἰνδικτιῶνος δ΄ ἀπὸ κτίσεως κόσμου ἐκτίσθη ἡ Ἁγία Σοφία παρὰ τοῦ μεγάλου Ἰουστινιανοῦ τοῦ βασιλέως.

*Περὶ πότε ἐκτίσθη ἡ Βενετία καὶ ἐν ποίῳ ἔτει ἔλαβον οἱ Βενέτικοι τὰς κάτωθεν πόλεις :*

Ἔτους ἀπὸ Χριστοῦ καταβάσεως ,υκα΄ ἐπιάσθη ἀρχὴ ἡ Βενετία, ἤγουν τὸ Ριάλτο.

Καὶ ἐν ἔτει ,ωλ΄ ἔκτισαν τὴν ἐκκλησίαν τοῦ ἁγίου Μάρκου.

Καὶ ἐν ἔτει ,ωλβ΄, μηνὶ Ἰανουαρίῳ λ΄ ἤφεραν |φ. 276 β| τὸ λείψανον τοῦ ἁγίου Μάρκου εἰς τὴν Βενετίαν.

Καὶ ἐν ἔτει ,αρμθ΄ ἔκτισαν τὸ καμπανέλη.

Ἔτει ἀπὸ Χριστοῦ ,ατ΄ ἐπῆραν οἱ Βενέτικοι τὸ νησὶ τῶν Κορυφῶν μὲ τὰ καστέλλια.

Ἔτει ἀπὸ Χριστοῦ ,ατπη΄ ἐπῆραν τὸν Ναύπακτον ἀπὸ τὸν Παῦλον Σπάτα.

Ἔτει ἀπὸ Χριστοῦ ,αυκγ΄ Μαΐῳ κδ΄ ἐπῆραν τὸν Τουλτζίνιο μετὰ συμφώνων, ἀποθανόντος τοῦ ἀφεντὸς τοῦ Μπάλτζη.

Ἔτει ἀπὸ Χριστοῦ ,αυοδ΄ ἐπῆραν τὸ νησὶ τῆς |φ. 277 α| Κύπρου ἀποθανόντος τοῦ Ρετζάγου.

Ἔτους ἀπὸ Ἀδὰμ ,στψιβ΄ ἐπαρεδόθη ἡ Κωνσταντινούπολις εἰς χεῖρας τῆς ἐκλαμπροτάτης αὐθεντίας τῶν Βενετιῶν ἐπὶ τῆς βασιλείας τῶν Κομνηνῶν, Ἀλεξίου καὶ Ἰσαακίου.

Ἔτους ἀπὸ Ἀδὰμ ,στψξ΄ ἀντεστράφη πάλιν εἰς τοὺς Ρωμαίους ἡ Κωνσταντινούπολις ἀπὸ τὰς χεῖρας τῶν Βενετίκων ἐπὶ τῆς βασιλείας κυροῦ Μιχαὴλ τοῦ Παλαιολόγου.

Ἔτους ἀπὸ Ἀδὰμ ,στϠζ΄, ἀπὸ δὲ τῆς ἐνσάρκου |φ. 277 β| οἰκονομίας τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ,ατπθ΄ ἐπαρέλαβεν ἡ αὐθεντία τῶν Βενετιῶν τὸ Ναύπλιον τῆς Πελοποννήσου.

Ἔτους ἀπὸ Χριστοῦ γεννήσεως ,αυλγ΄ ἀφώρισεν ὁ πάπα[ς] Νικόλαος τοὺς βασιλεῖς τῶν Ρωμαίων.

Εἰς τὴν ᾤαν τῶν στίχων 5-10 γέγραπται πλαγίως : ὅρα ὅλον καλῶς. Εἰς τὴν ᾤαν τῶν στίχων 20-23 γέγραπται πλαγίως : ὅρα καὶ τοῦτο καλῶς. 166 : ἠκούσας. 172 : Μουσταφᾶν.

## 43

Κῶδ. Πολλάνη 41 φ. 152 β (=Ἀθηνῶν Suppl. 360, Πβλ. Νέον Ἑλληνομνήμονα 4, 358).

Ἀπὸ Χριστοῦ γεννήσεως ἔτους ,ᾳυνγ΄ Μαΐῳ κθ΄ ἡμέρᾳ γ΄ βασιλεύοντος Κωνσταντίνου τοῦ Παλαιολόγου παρεδόθη ἡ Κωνσταντινούπολις τοῖς Ἰσμαηλίταις παρὰ Θεοῦ

ἕνεκεν τῶν κριμάτων ἡμῶν. Ἐδυνάστευσεν γοῦν τὴν Κωνσταντινούπολιν χρόνους κη΄· μετὰ γοῦν τούτων ἐδούλωσεν πολλὰς χώρας καὶ πόλεις. Ἔτους ,στϡοη΄ μηνὶ Ἰουλίου, ἀπὸ δὲ τοῦ Χριστοῦ ,ατο΄ ἁλώθη ἡ Εὔριπος. Ἔτους ,στϡπγ΄ μηνὶ Ἰουλίου κ΄, ἀπὸ δὲ τοῦ Χριστοῦ ἔτει ,αυοε΄ ἁλώθη ὁ Καφᾶς. Ἔτους ,στϡπθ΄ Μαΐῳ γ΄ ἀπέθανεν ὁ σουλτὰν Μεχεμέτης, καὶ τῇ ιθ΄ τοῦ Αὐγούστου μηνὸς ἐλήλυθεν ὁ υἱὸς αὐτοῦ Μπαγιαζήτης εἰς τὴν Μπόλιν, καὶ μετὰ β΄ ἔτη ἐστράτευσαν κατὰ Κελλίου καὶ Ἀσπροκάστρου. Ἔτους ,ζζ΄ Αὐγούστου ,κθ΄ ἁλώθη ὁ Ναύπακτος.

Ἔτο[υ]ς ,ζη΄, ἀπὸ δὲ Χριστοῦ ,αφ΄ Αὐγούστου θ΄ ἁλώθη ἡ Μοθώνη καὶ ἡ Κορώνην.

Ἔτους ,ζιβ΄, ἀπὸ δὲ Χριστοῦ ἔτει ,αφιγ΄ μηνὶ Ἀπριλίῳ, ἐδιώχθη ὁ Μπαγιαζήτης παρὰ τοῦ υἱοῦ αὐτοῦ Σελήμη· ὁ δ᾽ αὐτὸς Σελήμης τοῦ κράτους ἤδη καὶ τῶν σκήπτρων ἀναλαβὼν εὐθὺς κατὰ Περσῶν στρατεύει· τροπώσας γοῦν καὶ νικήσας ἐλήλυθεν πρὸς Κωνσταντινούπολιν.

Ἔτει ἀπὸ Χριστοῦ ,αφιη΄ μηνὶ Ἰανουαρίῳ στρατεύει κατὰ τῆς Μέμφης εἰς Αἴγυπτον, ἥντινα καὶ δουλώσας ἐκράτησεν ἔτος τὸ ἄνω γεγραμμένον, ἐξολοθρεύσας τοὺς ὠμοτάτους Μαλαλούχους. Καὶ οὐ πολὺ τὸ ἐν μέσῳ θνήσκειν καταλιπὼν τὴν αὐτοκρατορίαν τοῦ υἱοῦ αὐτοῦ Σουλεημάνη, διαδέχεται δὲ ὁ Σουλεημάνης τῶν σκήπτρων ,αφκ΄ μηνὶ Σεπτεμβρίῳ· καὶ εὐθὺς στρατεύει κατὰ τῶν Οὐγαρῶν [φ. 153α] εἰς τὸ Πελιγράδιον, ὅπερ καὶ ἁλώθη.

Ἔτους ἀπὸ Χριστοῦ ,αφκα΄ ἐποίησεν ὁ σουλτὰν Σουλεημάνης στρατὸν χιλιάδας σ΄ διὰ ξηρᾶς, καὶ διὰ θαλάσσης τριήρεις σο΄ καὶ ἀπῆλθεν εἰς τὴν Ῥόδον, ἀπὸ τὸν Ἰούλιον μῆνα, καὶ ἐπολέμει αὐτὴν ἕως τὸν Δικέμβριον. Καὶ τῇ κε΄ τοῦ αὐτοῦ Δικεμβρίου μηνὸς ἐπαραδόθη ἡ αὐτὴ ἀθλία Ῥόδος εἰς τὰς χεῖρας αὐτοῦ, ἔδωκεν δὲ ἄδειαν καὶ ἐξέβη ἐκ τοὺς Ῥοδίτας ὅστις ἤθελεν.

Ἔτους ,στωνδ΄, ἀπὸ δὲ Χριστοῦ ,ατνδ΄ ἐπέρασαν οἱ Τοῦρκοι εἰς τὴν Δύσιν.

Ἔτους ,στωξ΄ ἐπῆραν τὴν Καλιούπολιν.

Ἔτους ,στωοζ΄ ἀπὸ δὲ Χριστοῦ ,ατξε΄, ἐπῆρε τὴν Ἀνδριανούπολιν·

Ἔτους ,στϡξδ΄, ἀπὸ δὲ Χριστοῦ κδ΄ Μαΐῳ ἐπῆρεν τὴν Θεσσαλονίκην.

Ἔτους ,στϡξδ΄ μηνὶ Ἰουνίῳ ἐπαραδόθη εἰς χεῖρας τῶν Τουρκῶν ἡ πόλις τῶν Ἀθηνῶν.

Ἔτους ,στϡξη΄, ἀπὸ δὲ Χριστοῦ ,αυδ΄ ἦλθεν ὁ μέγας αὐθέντης εἰς τὸν Μυθηθρᾶν (!). καὶ περεδόθη ὁ δεσπότης κὺρ Δημήτριος.

Ἔτους ,στϡο΄, ἀπὸ δὲ Χριστοῦ ,αυξβ΄ ἁλώθη ἡ Τραπεζοῦς.

Ἔτους ,στϡϟζ΄, ἀπὸ δὲ Χριστοῦ ,αυξε΄ ἐπαρέλαβεν ἡ αὐθεντία τῶν Βενετίκων τὸ Ἀνάπλιον, ἐν δὲ τῷ ,αφλζ΄ Σεπτεμβρίῳ ιδ΄ ἐποίησεν μάχην ὁ μέγας αὐθέντης με⟨τὰ⟩ τῶν Βενετίκων, καὶ ἐν τῷ ,αφμ΄ ἀπὸ Χριστοῦ ἐγένετο ἡ συμφωνία τῆς ἀγάπης καὶ ἔδωκαν οἱ Βενέτικοι τὸ Ἀνάπλιον καὶ τὴν Μονοβασίαν, καὶ οὕτως ἐγένετο ἡ ἀγάπην. Καὶ τῷ αὐτῷ ἔτει, τῷ ,αφμ΄, Νοεμβρίῳ κα΄, ἡμέρᾳ Κυριακῇ, ἐπαρέλαβεν ἀπὸ τοὺς Βενέτικους τὸ Ἀνάπλιον ὁ Κασιμπασίας. Καὶ τῇ κδ΄ τοῦ αὐτοῦ μηνὸς καὶ τῷ αὐτῷ ἔτει ἐπαρέλαβαν καὶ τὴν Μονεβασίαν, καὶ ὅσοι ἤθελαν Ναυπλιῶται καὶ Μονεβασιῶται ἀπῆλθον μετὰ τῶν

Βενετίκων, οἱ ἄλλοι δὲ ἔμειναν ἐν τῇ ἰδίᾳ πατρίδι αὐτῶν· ἔλαβον δὲ οἱ Βενέτικοι καὶ τὰς σκευὰς τῶν κάστρων καὶ τὰς καμπάνας τῶν ἐκκλησιῶν, ὅτι οὕτως ἐσυμφώνησαν, ὅταν ἐποίησαν τὴν ἀγάπην·

Ἔτους ἀπὸ Χριστοῦ ,αφο΄ ἔκαμαν μάχην ὁ Τοῦρκος μὲ τοὺς Βενέτικους καὶ ἐπῆγαν |φ. 153 β| διὰ ξηρᾶς καὶ διὰ θαλάσσης καὶ ἐπολέμησαν τὴν Κύπρον καὶ ἐπῆρα[ν] την καὶ ἡ ἀρμάτα τῶν Βενετίκων ἤθελαν νὰ ὑπάν, καὶ ἀκαρτερῶντας τὴν ἀρμάτα τοῦ ρηγὸς τοῦ Σπάνια ἄργησαν· καὶ ἔπεσεν θάνατος πολὺς εἰς τὴν ἀρμάτα τῶν Βενετίκων, καὶ ἐπῆγαν ἕως τὴν Κρήτην νῆσον· καὶ ἐκείνην τὴν ἐπῆραν καὶ ἐστράφησαν μὲ πολλὴν θλῖψιν.

Ἔτος ,αφοα΄ ἔκαμεν ἀρμάτα ὁ Τοῦρκος πολλήν, καὶ ἐπῆγαν ἐκ τὴν Κρήτην καὶ ἔκαψαν τὴν χώραν τῆς Ζακύνθου, καὶ εἰς τὴν Κεφαλληνίαν, καὶ ἐπῆραν ἀπὸ τὰ βουνὰ πολλὴν σκλαβίαν· καὶ ἔκαψαν ἐκ τοὺς Κορυφοὺς καὶ ἕως τὴν Σκλαβουνιάν. Καὶ ἡ ἀρμάτα τῶν Βενετίκων ἐβγῆκεν ἐκ τοὺς Κορυφοὺς καὶ ἐπῆγεν εἰς τὴν Μισήνα, καὶ ἀνταμώθηκεν μὲ τὴν ἀρμάδα τοῦ ρηγὸς τοῦ Σπάνια. Καὶ ἦλθαν καὶ κάτεργα Βενέτικα ἐκ τὴν Κρήτην εἰς τὴν Μισήνα, καὶ ὅλοι οἱ Χριστιανοὶ ἐξωμολογήθηκαν καὶ ἐμετάλαβαν τὰ ἄχραντα μυστήριαν, καὶ ἐκίνησαν νὰ ἔλθουν διὰ τὴν ἀρμάδα τὴν τούρκικην καὶ ἐκείνην ἐγύρισεν καὶ ἐμπῆκεν μέσα εἰς τὴν Ναύπακτον. Καὶ εἰς τὰς ἑπτὰ τοῦ Ὀκτωβρίου μηνὸς ἡμέρᾳ Κυριακῇ ἐβγῆκεν ἡ ἀρμάδα τῶν Χριστιανῶν ἐκ τὴν Κεφαλλονίαν ἐκ μέ[σα;] Σάμος καὶ ἡ ἀρμάδα ἡ τούρκικην ἐβγῆκεν ἐκ τὴν Ναύπακτον, καὶ ἀνταμώθησαν εἰς τὸ νησὶ τῶν Κουτζουλάρων. Εἰς τὰς τρεῖς ὥρας τῆς ἡμέρας, ἐσμίξαν οἱ ἀρμάδες οἱ δύο καὶ ἐδόθη ὁ πόλεμος ὁ θαυμαστὸς καὶ ὁ μέγας. Καὶ ἡ δύναμις τοῦ αὐθεντὸς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ Θεοῦ καὶ ἡ πρεσβείαν τῆς παναγίας Θεοτόκου καὶ πάντων τῶν ἁγίων ἐνίκησαν οἱ Χριστιανοί, καὶ ἐκατέκοψαν καὶ ἐτρόπωσαν καὶ ἐπῆραν πολλὴν ἀρμάδα τῶν Ἀγαρηνῶν· ὀλίγα ἔφυγαν καὶ ἐπῆγαν μέσα εἰς τὴν Ναύπακτον· ἔφυγαν καὶ πολλοὶ Τοῦρκοι. Καὶ ἐκόπησαν καὶ πολλοὶ Χριστιανοί, καὶ ἦτον γγενεράλες τῶν Βενετίκων |φ. 154 α| ὁ αὐθέντης ὁ Σεβαστείας Βενιέρης, ὁ ὁποῖος ἔγινε ἔπειτα πρίντζιπες. Καὶ ἐρχόμενος ὁ χρόνος εἰς τοὺς ,αφοβ΄ ἔκαμεν ὁ Τοῦρκος ἀρμάδα ἄλλην, καὶ ἦλθεν ἕως Μοθώνης, καὶ ἡ Βενέτικην ἀρμάδα, ὁ ἄνωθεν γγενεράλες ἐπῆγεν μοναχός του ἕως τὴν Μοθώνην. Καὶ ἡ ἀρμάδα ἡ τούρκικην ἐμπῆκεν εἰς τὴν Μοθώνην, καὶ ὁ γγενεράλες ὁ ἄνωθεν καρτερῶντας τὴν ἀρμάδα τοῦ ρηγὸς τοῦ Σπάνια, ἐστράφη εἰς τοὺς Κορυφούς, ὅπου ἦλθεν ἡ ἀρμάδα τοῦ Σπάνια· καὶ δὲν ἔβγαιναν ἐκ τοὺς Κορυφοὺς καὶ ἀνταμώθησαν οἱ δύο ἀρμάδες τῶν Χριστιανῶν, καὶ ἐπῆγαν εἰς τὴν Μοθώνην καὶ δὲν ἔκαμαν τίποτες. Καὶ ἐρχάμενος καιρὸς ἔκαμαν οἱ Βενέτικοι ἀγάπην μὲ τὸν Τοῦρκον. Καὶ τὰ ἑξῆς.

27 : κῶδ : ,ατξε', ἀπὸ δὲ Χριστοῦ ,στωοζ'. 55 : τὴν αύπακτον. 62 : τὴν αύπακτον.

## 44

Κῶδ. Μοδένης 144 (α. Τ, 8, 12). αἰῶνος ιε΄. (Ἐν φ. 1α ἄνωθεν: Ἰωάννῃ Τορνίκῃ τῷ Συναδηνῷ)

α΄ Ὁ Παγιαζήτης ἀπέθανεν ἐπὶ ἔτους ,ϛϡ΄ .. ἰνδικτιῶνος ...
β΄ ὁ Μουρσουμὰν τζαλαπῆς ἀπέθανε ἔτους ,ϛϡιϛ΄ ἰνδικτιῶνος ...
γ΄ ὁ Μωσὲς ἀπέθανε ἔτους ,ϛϡιη΄ ἰνδικτιῶνος ..
δ΄ ἡ δέσποινα ἡ Ρῶσα ἀπέθανε ἐπὶ ἔτους ,ϛϡκδ΄ ἰνδικτιῶνος ..
ε΄ ὁ Κυριτζῆς ἀπέθανε ,ϛϡλβ΄ ἰνδικτιῶνος β΄.
ϛ΄ ὁ βασιλεὺ[ς] ὁ Μανουὴλ ἀπέθανε ἐπὶ ἔτους ,ϛϡλα΄ ἰνδικτιῶνος κ΄(!)
ζ΄ ὁ ἐμπρησμὸς τῆς Βλαχέρνας ἐγένετον ἐπὶ ἔτους ,ϛϡμβ΄ ἰνδικτιῶνος ιβ΄ ἀποκρέω ἡμέρα Παρασκευή, ὥρα τετάρτη τῆς νυκτός. Ὦ τῆς ἀνοχῆς σου, Λόγε! Τρίτος καμὸς καὶ ἀφανισμός.
η΄ ἡ δέσποινα ἡ Μαρία ἀπέθανε ἐπὶ ἔτους ,ϛϡμη΄ ἰνδικτιῶνος ιη΄(!)
θ΄ ὁ βασιλεὺ[ς] ὁ κύρις Ἰωάννης ἀπέθανε ,ϛϡνϛ΄ ἰνδικτιῶνος κϛ΄(!)
ι΄ ὁ Μωράτης ἀπέθανε ,ϛϡνη΄ ἰνδικτιῶνος ...
ια΄ ἡ Πόλις ἁλώθη ὑπὸ τῶν Ἀγαρηνῶν ἐπὶ ἔτους ,ϛϡξα΄ ἰνδικτιῶνος α΄ Μαΐῳ κθ΄ ἡμέρα γ΄ῃ ὥρα β΄ τῆς ἡμέρας. (χειρὶ νεωτέρᾳ :) Ὦ τοῦ παραδόξου θαύματος καὶ φρικτοῦ μυστηρίου καὶ ξένου καὶ μεγάλου!

Ὁ ἀριθμὸς τῆς ἰνδικτιῶνος ἐν τέλει δὲν ἐτέθη ὑπὸ τοῦ γράψαντος τὸ βραχὺ χρονικόν, ἐνιαχοῦ γέγραπται διὰ νεωτέρων κιρρῶν ἀριθμῶν ἐσφαλμένων.

## 45

Κῶδ. Παρισίων 1389 φ. 388β, αἰῶνος ιϛ΄

Ἐκτίσθη ἡ Κωνσταντινούπολις ἐν ἔτει ,εωλγ΄

Ἐκτίσθη ἡ Ἁγία Σοφία ἐν ἔτει ,ϛτλ΄

Ἀνεφάνη ὁ Μωάμεθ ἐν ἔτει ,ϛρκζ΄· ἀνεφάνη ἡ ἀρχὴ τῶν Τουρκῶν ἀπὸ Χριστοῦ χρόνους ,ατ΄. Ὁτμάνης τὸ ὄνομάν του ἀφέντεψεν χρόνους κη΄. Ἐπῆρεν τὴν Προῦσαν Ὀρχάνης ὁ υἱός του εἰς τὰ ,ατν΄· ἀφέντεψεν χρόνους κβ΄.

Ἐπῆρεν ὁ σουλτὰν Μουράτης, ὁ υἱὸς τοῦ Ὀρχάνη τὴν Καλιούπολιν εἰς τὰ ,ατοζ΄· εἰς ἐκεῖνον τὸν καιρὸν ἐπῆρεν τὴν Σερβίαν.

Ἐπολέμησεν τὴν Κωνσταντινούπολιν ὁ σουλτὰν Παγιαζήτης, υἱὸς τοῦ σουλτὰν Μουράτη εἰς τὰ ,ατϟε΄, εἰς τὰς κθ΄ τοῦ Σεπτεμβρίου καὶ ἐχάλασεν ὅλα τὰ ἔξω κτίσματα, περιβόλια καὶ δένδρη, καὶ πάλιν ἔστρεψεν εἰς τὴν Ἀνατολήν, εἰς τὴν Μπροῦσαν· ἔζησεν χρόνους ϛ΄.

Βασιλεύοντα ὁ υἱὸς αὐτοῦ Μεχμέτης ἔκαμεν τὸν θρόνον του εἰς τὴν Ἀνδριανούπολιν· ἀφέντεψεν χρόνους ιδ΄.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ἐπῆρεν τὴν Θεσσαλονίκην ὁ σουλτὰν Μουράτης, ὁ υἱὸς τοῦ Μεχμέτη εἰς τὸν καιρὸν τῆς βασιλείας τοῦ Ἰωάννου τοῦ Παλαιολόγου, εἰς τοὺς ,στϡλη΄· ἀφέντεψεν χρόνους λα΄.

Βασιλεύοντα ὁ σουλτὰν Μεχμέτης, ὁ υἱὸς τοῦ σουλτὰν Μουράτη ἐπῆγεν εἰς τὸ Στενὸν τῆς Πόλης καὶ ἔκτισεν τὰ Νεόκαστρα ἔτους ,στϡνθ΄.

Αἰχμαλωτίσθη ἡ Καλλονὴ ὑπὸ τῶν Ἀγαρηνῶν ἔτους ,στϡνστ΄.

Ἐπῆγεν εἰς τοῦ Καραμάνου ἔτους ,στϡνη΄.

Ἐπῆρεν τὴν Κωνσταντινούπολιν ἔτους ,στϡξα΄, μηνὶ Μαΐῳ κθ΄ ἡμέρα γ΄, ἀπὸ Χριστοῦ ,αυνγ΄.

Ὥρισαν τὴν Κωνσταντινούπολιν βασιλεῖς Ῥωμαῖοι ϟβ΄ καὶ οἱ Φράγγοι χρόνους ξ΄.

Ἐπῆγεν εἰς τὴν Αἶνον τὸν χειμῶνα, ἔτους ,στϡξβ΄, εἶτα τὴν Ἀθήνα, τὴν Θήβα, τὴν Θάσον.

Ἐπῆγεν εἰς τὸ Μπελιγράδιν καὶ δὲν τὸ ἐπῆρεν ἔτους ,στϡξγ΄.

Ἐπῆγεν εἰς τὸν Μορέαν καὶ ἐπῆρεν τον ἔτους ,στϡξδ΄.

Ἐπῆγεν εἰς τὸ Γιάζιν καὶ δὲν τὸ ἐπῆρεν ,στϡξη΄.

Ἐπῆγεν εἰς τὸν Μορέαν καὶ ἀφάνισεν αὐτὸν δεύτερον ἔτους ,στϡξστ΄.

|φ. 388β| Ἐπῆγεν εἰς τὸν Οὐζοὺν Χασάν, καὶ εἰς τὸ γύρισμα ἐπῆρεν τὴν Τραπεζοῦντα, τὴν Καστάνην, τὸ Σινώπι χωρὶς πόλεμον ἔτους ,στϡξθ΄· τὸν αὐτὸν χρόνον ἐπῆγεν εἰς τὴν Βλαχίαν.

Ἐπῆρεν τὴν Μιτυλήνην ἔτους ,στϡοα΄· τὸν αὐτὸν χρόνον ἐπῆρεν ταῖς δύο Φώκιαις.

Ἐπῆγεν εἰς Εὔριπον καὶ τὴν αἰχμαλώτισεν ἔτους ,στϡοζ΄ μηνὶ Ἰουλίου.

Ἐπῆρεν τὸν Καφᾶν καὶ τὴν Ἄμαστρον, καὶ τὰ αἰχμαλώτισεν ,στϡπγ΄.

Ἐπῆγεν εἰς τὴν Πουγδανίαν, καὶ ἐπῆραν τὰ κάστρη, ὅπου ἔκτισαν οἱ Οὔγγροι ,στϡπδ΄.

Ἐπῆγεν εἰς τὸ Σκούταρι, καὶ δὲν τὸ ἐπῆρεν· καὶ ὕστερον ἐπροσκύνησεν ,στϡπστ΄.

Ἐπῆγεν κατὰ τῶν δεσποτῶν καὶ ἐπῆρεν τὴν Κόρινθον, τὴν Παλαιὰν Πάτραν, τὰ Καλάβρυτα, τὸν Μουζιθρᾶν, τὴν Πόσναν καὶ ἄλλα πολλὰ κάστρη, ,αυνζ΄ ἀπὸ Χριστοῦ.

Ἐπάρθη ἡ Ἁγία Μαύρα παρ' αὐτοῦ ἔτους ,στϡπζ΄.

Εἰς ἐκεῖνον τὸν καιρὸν ἔστειλε καὶ ἐπολέμησεν τὴν Ῥόδον, καὶ οὐδετίποτε ἔκαμεν.

Ἀπέθανεν ὁ σουλτὰν Μεχμέτης ὅπου ἐπῆρεν τὴν Πόλιν ,στϡπθ΄· ἔζησε δὲ χρόνους νγ΄· ἐβασίλευσεν χρόνους λβ΄.

Εἰς ἐκεῖνον τὸν καιρὸν ἦταν τὰ φουσᾶτα τοῦ σουλτάνου εἰς τὴν Πούλιαν καὶ αἰχμαλωτίσαν την

Ἔλαβε τὴν βασιλείαν αὐτοῦ ὁ υἱός του, ὁ σουλτὰν Παγιαζήτης ,στϡπθ΄.

Ἐπῆγεν καὶ ἐπῆρεν τὴν Πουγδανίαν, τὸ Κελλίν, καὶ τὸ Ἀσπρόκαστρον ,στϡϟβ΄.

Ἐκτίσθη δὲ ἡ Πρέβεζα εἰς τὸν καιρὸν τῆς βασιλείας τούτου τοῦ σουλτάνου ,στϡϟε΄.

Εἰς τὰ ,αυστη΄ ἔκαμεν μάχην ὁ σουλτάνος μὲ τοὺς Βενετίκους.

Ἐπαράδωσεν ὁ Ναύπακτος ἔτους ,ζη΄.

Ἐπάρτην ἡ Μοθώνη ἔτους ,ζθ΄ Αὐγούστου θ΄.

Τὸν αὐτὸν χρόνον ἐπαρέδωσεν τὴν Κορώνην, τὸν Ἀβαρῖνον, καὶ αἰχμαλώτισεν.

Ἀπέθανεν ὁ σουλτὰν Παγιαζήτης· ἔζησεν χρόνους οδ΄· ἐβασίλευσε χρόνους λα΄.

Ἐβασίλευσεν ὁ σουλτὰν Σελήμης εἰς ,ζκ΄ Ἀπριλίου ,κδ΄.

Ἐπῆρεν αὐτὸς τὸ Κάερος, τὴν Συρίαν, τὴν Δαμασκὸν καὶ ἔφθασεν ἕως τὸν ποταμὸν τὸν Νεῖλον ἔτους ,αφιζ΄, Ἰανουαρίου κε΄· ἔλαβεν τὸ Κάερος.

Ἀπέθανεν ὁ σουλτὰν Σελήμης ,αφκ΄· ἐβασίλευσε χρόνους η΄ καὶ ἥμισυ· ἦτον χρόνων κστ΄.

Ἐβασίλευσεν ὁ σουλτὰν Σελεημάνης εἰς τὰ ,αφκ΄.

Ἐπῆρεν τὸ Μπελογράδιν εἰς τὰς β΄ τοῦ Αὐγούστου εἰς τὴν Οὐγγρίαν ,αφκα΄.

Ἐπῆρεν τὴν Ῥόδον, εἰς τὰ ,αφκβ΄ Δεκεβρίῳ κε΄·

|φ. 389α| Εἰς τὰ ,αφλζ΄ μηνὶ Αὐγούστου ἔκαμεν μάχη ὁ σουλτάνος μετὰ τῶν Βενετίκων καὶ ἐπῆγεν εἰς τοὺς Κορυφοὺς καὶ ἐπολέμησεν.

Τότε τὴν Κεφαλλονίαν ἐκρούσεψαν καὶ τὰ νησία ὅλα τοῦ Ἀρχιπελάγου, τὴν Πάρον, τὴν Ἀξίαν, τὴν Μῆλον, ἥ ἐπροσκύνησεν ἔτους ,αφλζ΄.

Εἰς τὰ ,αφξστ΄ ἐπῆγεν εἰς τὴν Οὐγγρίαν, ἐπῆρεν τὸ κάστρον Σεκφὰρ καὶ ἐκεῖ ἀσθενήσας ἀπέθανεν εἰς τὸ Πελιγράδιον· ἐβασίλευσεν χρόνους μζ΄.

Εἰς τὰ ,αφξστ΄ Ἀπριλίου ιζ΄ τὴν νέαν δ΄ ἐπῆρεν τὴν Χίον ὁ Πηγυαλῆ μπασίας.

Εἰς τὰ ,αφο΄ ἔκαμεν μάχην ὁ σουλτὰν Σελήμης, ὁ υἱὸς τοῦ σουλτὰν Σελεϊμάνη μὲ τοὺς Βενετίκους καὶ ἀρμάδαν ἔστειλεν κατὰ τῆς Κύπρου.

Ἐπῆρεν τὴν Κύπρον εἰς τὰ ,αφο΄ καὶ τὴν Ἀμμόχωστον εἰς τὰ ,αφοα΄.

63 : κῶδ. : ἣν

## 46

Κῶδ. Κουτλουμουσίου ἀριθ. 213 φ. 2β

Ἐπέρασεν ὁ Ὀτμάνογλης ἀπὸ τὴν Ἀνατολὴν καὶ ἦλθεν εἰς τὴν Δύσιν ἐπὶ ἔτους ,στωια΄ καὶ ἐβασίλευσεν χρόνους κα΄· καὶ Ὀτμάνης εἶναι ἐκεῖνος ὁποῦ ἔγινε πρῶτος βασιλεὺς τῶν Τουρκῶν, κυρίως καὶ καθολικῶς· καὶ ἀπ᾿ αὐτὸν κατάγεται ἡ βασιλεία τῶν Τουρκῶν ἕως τὴν σήμερον, ὁποῦ βασιλεύουν τὴν Κωνσταντινούπολιν.

Μετὰ τοῦτον ἐβασίλευσεν ὁ Γιὸλ Κασίμης χρόνους μ΄. Ὁ καζῆ Ἀμουράτης χρόνους λ΄. Ὁ Ἰλτηρὴμ Μπαγιαζήτης χρόνους ιδ΄. Ὁ ἐμὴρ Σουλεϊμάνης χρόνους γ΄. Ὁ σουλτὰν Μουράτης λα΄. Ὁ σουλτὰν Μεχμέτης λβ΄, ὁποῦ ἐπῆρεν τὴν Πόλιν. Ὁ σουλτὰν Μπαγιαζήτης λγ΄. Ὁ σουλτὰν Σελήμης η΄ καὶ ἥμισυ. Ὁ σουλτὰν Σουλεημάνης μη΄. Ὁ σουλτὰν Σελήμης η΄. Ὁ σουλτὰν Μουράτης κ΄ Ὁ σουλτὰν Μεχεμέτης χρόνους θ΄. Ὁ σουλτὰν Ἀχμέτης ἐγένετο ἐπὶ ἔτους ,ζριβ΄ (νεωτέρᾳ χειρί)· ἔζησε χρόνους ιδ΄· Ἐβασίλευσε, ἐκάθισε ὁ σουλτὰν Μουσταφᾶς χρόνο μισό, ἐκάθισε ὁ σουλτὰν Ὀσμάνης χρόνους γ΄ καὶ ἐκάθισε ὁ σουλτὰν Μουράτης στοὺς ,ζρλα΄.

Ἐπάρθησαν τὰ Ἱεροσόλυμα ἐπὶ ἔτους ,στχηε΄. Τὸ Ἀργυρόκαστρον ,στϡκστ΄. Τὸ Σαλονίκι καὶ τὰ Ἰωάννινα ,στϡνε΄. Τότε ἐπροσκύνησεν καὶ ἡ Πωγωνιανή. Τὴν Καραμα-

νίαν ,στϡνζ΄. Ἐπῆρεν τὴν Κωνσταντινούπολιν ὁ σουλτὰν Μεχεμέτης ἐπὶ ἔτους ,στϡξα΄ μηνὶ Μαΐῳ κθ΄ ἡμέρα Τρίτη. Τὴν Ναύπακτον ,ζζ΄. Τὴν Μεθώνην ,ζη΄. Τὸ Τεμπρίζη, ,ζκβ΄. Τὸ Μυσήρη ,ζκε΄. Τὸ Μπελιγράδη ,ζκθ΄. Τὴν Ῥόδον ,ζλα΄. Τὸ Μπουντούνη ,ζλδ΄. Ἐκατέβη ὁ σουλτὰν Σουλεημάνης εἰς τοὺς Κορφοὺς ἐπὶ ἔτους ,ζμε΄. Εἰς τὴν Μάλταν ,ζογ΄. Ἐπῆρεν τὴν Χίον ,ζοδ΄. Τὸ Σεγετφάρη ,ζοε΄. Τὴν Κύπρον ,ζοη΄. Τὸ Ἀκλιμπέντη ,ζπα΄. Ἐκούρσευσαν τὴν Περσίαν, ἤγουν τὸ Κιζηλμπάση ἐπὶ ἔτους ,ζπε΄. Ἐπῆραν τὸ Γιανίκη ,ζρβ΄. Ἐκούρσευσαν τὴν Βλαχία ὁ Σινὰν πασιάς, ὅταν ἀπίστησεν ὁ Μιχὰλ Βόντας ἀπὸ τὴν ὑποταγὴν τῶν Τουρκῶν ἐπὶ ἔτους ,ζργ΄· καὶ ἔγινε πολλὴ φθορὰ εἰς τοὺς ἐλεεινοὺς Βλάχους· καὶ ἀπὸ τότε ἄρχισαν οἱ σύγχυσες εἰς ἐκεῖνα τὰ μέρη καὶ γίνουνται καὶ ἕως τὴν σήμερον.

11 : κῶδ. : χρόνους

## 47

Κῶδ. Πανεπιστημίου Βονωνίας 3632 φ. 352 α

*Χρονικὸν μερικόν*

Ἔτει ,στωκδ΄ Σεπτεβρίου κθ΄ γέγονεν ὁ σεισμὸς ὁ μέγας.

Ἔτει ,στωκδ΄ Ὀκτωβρίῳ ιβ΄ ἡμέρα Κυριακῇ ἀπέθανεν Μιχαὴλ βασιλεὺς ὁ Παλαιολόγος, ὁ υἱὸς Ἀνδρονίκου.

Τῷ αὐτῷ ἔτει Ἀπριλίῳ κ΄ ἐξῆλθεν Ἀνδρόνικος βασιλεὺς φυγὰς τοῦ ἰδίου πάππου.

Ἔτει ,στωλ΄ Δεκεβρίῳ κδ΄ ἦλθεν ὁ αὐτὸς εἰς τὴν Μπόλ(ιν) συμμαχήσας μετὰ στρατοῦ πολλοῦ·

Τῷ αὐτῷ ἔτει Ἰουλίῳ ιζ΄ ἐποίησαν οἱ βασιλεῖς ἀγάπη.

Ἔτους ,στωλστ΄ Μαΐῳ δ΄ ἡμέρα γ΄ παρέλαβεν Ἀνδρόνικος βασιλεὺς τὴν Μπόλ(ιν).

Ἔτους ,στωμα΄ Μαΐῳ ιδ΄ γέγονεν ἡ ἔκλειψις τοῦ ἡλίου.

Ἔτους ,στωμθ΄ Ἰουνίῳ ιζ΄ ἐκοιμήθη Ἀνδρόνικος βασιλεὺς ὁ Παλαιολόγος.

Ἔτους ,στων΄ Νοεβρίῳ ιθ΄ ἡμέρα β΄ ἐστέφθην βασιλεύς· ἐγεννήθη δὲ ,στωμ΄ Νοεβρίῳ· Ἰουνίῳ ιζ΄.

Ἔτους, στωνβ΄ Ὀκτωβρίῳ γέγονε σεισμὸς μέγας ὅτε ὑψώθη καὶ ἡ θάλασσα ἕως Σταυροῦ.

Ἔτει ,στωνγ΄ Ἰουλίῳ ια΄ ἐφονεύθη ὁ μέγας δούξ· τὴν ἐπαύριον ἐφονεύθησαν ἄρχοντες ,ρπ΄.

Ἔτει ,στωνδ΄ Φεβρουαρίῳ γ΄ ἡμέρα Σάββατον εἰσῆλθε βασιλεὺς Κατακουζηνὸς Ἰωάννης εἰς τὴν Μπόλ(ιν) ἐκ τῆς Χρυσέας Πόρτας ἐκ τοῦ Φακεολάτου.

Τῷ αὐτῷ ἔτει Μαΐῳ ιθ΄ ἡμέρα στ΄ ὥρα η΄ ἐχάλασε ἡ Ἁγία Σοφία, ὁ μέγας ναός· τὸ ἅγιον βῆμαν ὥραν η΄ τῆς ἡμέρας.

Ἔτει ,στωξγ΄ Ἰανουαρίῳ κα΄ εἰσῆλθε βασιλεὺς Ἰωάννης Παλαιολόγος ἐκ τοῦ Κοντοσκαλίου εἰς τὴν Μπόλ(ιν).

Ἔτει ,στωξδ΄ Νοεβρίῳ β΄ ἐφονεύθην ὁ μέγας δεμέστικος ὁ Τραχανιώτης.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ἔτει ,στωοα´ Ἰουλίῳ κ´ ἐξῆλθε Κάλλιστος πατριάρχης Τριβόλης τρίβους Σέρβους καὶ ἀπέθανεν.

Ἔτει ,στωοβ´ Ὀκτωβρίῳ ια´ ἀνέβην πάλιν Θεόφιλος πατριάρχης.

Ἔτει ,στωοδ´ ἐξῆλθε βασιλεύς Ἰωάννης πρὸς Οὐγκρίαν.

Ἔτει ,στωοε´ Σεπτεβρίῳ β´ ἔφθασεν εἰς τὴν Μπόλ(ιν) ὁ κόντ(ος;) Σαβόγιας.

Τῷ δὲ αὐτῷ καιρῷ Ὀκτωβρίῳ ια´ ἐξῆλθεν εἰς πόλιν Μεσεβρίαν· χειμάσας ἐστράφη δὲ στὴν Πόλιν κατὰ τὴν Μεγάλην Ἑβδομάδαν μετὰ τῶν βασιλέων ἐλθὼν ἡμέρᾳ στ´ μετὰ πρέσβεων ἡμῶν πρὸς τὸν πάπαν. Ἔτει ,στωοζ´ Σεπτεβρίῳ κ´ ἡμέρᾳ Κυριακῇ εἰς τὸ ἱππόδρομον καὶ ἀνεγνώστησα[ν] ἐπιστολαί τοῦ Πάπα.

Ἔτει ,στωπ´ Ὀκτωβρίῳ κη´ ἔφθασεν στὴ Πόλιν βασιλεὺς Ἰωάννης καὶ Δεκεβρίῳ ε´ ἐκράτησαν τοὺς ἄρχοντας Γλαβᾶν, Ἰωάννην Ἀσάνην, Μανουὴλ Βρυένη, τὸν πανυπερσέβαστον τὸν Τζαμπλάκον καὶ τὸν Ἀγάλον.

Ἔτει ,στωπα´ Μαΐῳ στ´ ἡμέρα στ´ ἐξῆλθεν Ἀνδρόνικος βασιλεὺς φυγὰς τοῦ ἰδίου πατρός· καὶ ἡνώθη μετὰ τοῦ Ἰσμαὴλ Τζαλαπῆ, υἱοῦ Μουράτ, φυγάδι καὶ αὐτῷ ὄντι τοῦ ἰδίου πατρὸς πρὸ μηνῶν καὶ ἡμερῶν ι´. Ὅθεν ὁ βασιλεὺς Ἰωάννης ὀργιστεὶς ἡνώθη τῷ Μουρὰτ καὶ περάσας αὐτὸν ἐξ Ἀνατολῆς πρὸς Δύσι διὰ τῆς Πόλεως μετὰ τοῦ πολλοῦ στρατοῦ.

Τῷ αὐτῷ γοῦν Μαΐῳ κε´ ἡμέρᾳ δ´ τῆς ἁγίας ε$^{ης}$ τῆς Ἀναλήψεως ἐγένετο πόλεμος καὶ ἐπολέμησεν Ἀνδρόνικος βασιλεὺς ἐνδόξως ἄγαν· συμμαχήσαντες δὲ αὐτὸν καὶ οἱ τοῦ Τζαλαπῆ |φ. 352 β| ἐτράπησαν θαυμασίως· πεπτώκασι δὲ Τοῦρκοι φ´ οἱ πλείονες διὰ χειρὸς αὐτοῦ· Ῥωμαῖοι δὲ πεπτώκασιν καὶ συνελήφθησαν ζῶν[τ]ες χίλιοι ψ´.

Τῷ αὐτῷ μηνὶ Μαΐῳ λ´ προσεκύνησεν Ἀνδρόνικος ὁ βασιλεὺς περὶ ὥραν ια´ τῆς νυκτὸς εἰς φρούριον Ἀνθύρος τὸν ἴδιον πατέρα παυσάμενος τοῦ πολεμεῖ⟨ν⟩, εἰσῆξεν δὲ αὐτὸν ἐν φυλακῇ μετὰ τῆς γυναικὸς αὐτοῦ Μαρίας.

Ἔτι δὲ ιε´ Αὐγούστῳ αἱ δύο θυγατέρε[ς] τοῦ βασιλέως ἐνεδύσαντο μέλαινα ἱμάτια.

Ἔτει ,στωπβ´ Σεπτεβρίῳ ιβ´ ἐξώρισεν τὸ[ν] υἱὸν αὐτοῦ εἰς νῆσον Λῆμνον.

Τῷ αὐτῷ μηνὶ κε´ πρόβλησεν βασιλέαν τὸν Μανουὴλ ἐν τῷ παλατίῳ τῶν Ἀετῶν.

Σεπτεβρίῳ κθ´ παρέλαβεν Μουράτης τὸν υἱὸν αὐτοῦ Σαουτζήμπεη ἐν τῇ πόλει Διμοτείχῳ καὶ ἐτύφλωσεν αὐτόν· τοὺς δὲ σὺν αὐτὸν σχεδὸν πάντας ἀπέκτεινεν.

Ἔτει ,στωπδ´ ἔφυγεν ἐκ φυλακῆς μονῆς τοῦ Καυλέως Ἀνδρόνικος βλέπων μετὰ τῆς συζύγου καὶ τοῦ υἱοῦ αὐτοῦ ἐκ τῆς Πόλεως εἰς τὸν Γαλατᾶν.

Τῷ αὐτῷ ἔτει Αὐγούστῳ ιβ´ ἡμέρᾳ γ´ εἰσῆλθε διὰ τῆς Ξυλοκέρτου πύλης· καὶ ἐγένετο πόλεμος ἡμέρας τρεῖς ἐν τῇ Πόλει, Ῥωμαῖοι μετὰ Γενουβιτῶν· καὶ ἔπεσαν Γενουβῖται ρξ´.

Ἔτει ,στωπε´ ἔπαυσαν τὸ μνημόσυνον Φιλοθέου τοῦ πατριάρχου. Τῇ δὲ γ´ ταὐτοῦ μηνὸς ἐξῆλθε Ἀνδρόνικος εἰς Ἀνατολὴν ἀρήγων τῷ Μουρὰτ φιλίαν Ἰσμαήλ.

Τῇ ια´ τοῦ αὐτοῦ μηνὸς ἀπέθανεν ἡ ἀδελφὴ αὐτοῦ τοῦ βασιλέως Μαρία.

Ἔτει ,στωϟδ΄ ἡμέρᾳ β΄ ὥρᾳ ε΄ Ἰανουαρίῳ α΄ τοῦ Ἁγίου Βασιλείου ἐγένετο μεγάλη ἔκλειψις τοῦ ἡλίου ὁλοζώφωτος.

Ἔτει ,εωλη΄ ἐκτίστη ἡ μεγάλη πόλις Κωνσταντινούπολις. Εὑρέθην ὁ σταυρὸς κεκρυμμένος ἀπὸ τῆς Χριστοῦ ἀναλήψεως ἔτει τιη΄.

Ἔτει ,στϡιθ΄ ἦλθεν ὁ Μουσῆς ἀπὸ τοὺς Τατάρους καὶ ἐδουλώθη τῷ βασιλεῖ κὺρ Μανουὴλ μῆνας ε΄· εἶτα ἀποσκιλτήσας διαπερᾷ ὁ ἀδελφὸς σουλτὰν Τζαλαπῆς ἀπὲ τὸ Σκούταρι κελεύσει βασιλικῇ· καὶ ἐποίησαν πόλεμον ἐγγὺς τῆς Πόλης τῶν πυλῶν· καὶ ἡττᾶται Μωσῆς κατὰ κράτος καὶ φυγὰς γίνεται εἰς Οὐγκρίαν.

Τῷ αὐτῷ ἔτει ἐπαρέλαβεν τὴν Βιζύην αὐτὴν καὶ τὰ περιέχ⟨οντα⟩ ὅρια αὐτῆς ὁ βασιλεύς.

Τῷ αὐτῷ ἔτει ἔγινεν θανατικὸν μέγα τελευτήσαντες ὅτε πατριάρχης κὺρ Ματθαῖος καὶ κὺρ Θεόδωρος Κατακουζηνὸς καὶ λαὸς χιλιάδες ι΄.

Ἔτει ,στωξστ΄ ἰνδικτιῶνος ια΄ ἐγένετο ἡ ἐξοίκισις τῆς Βιζύης.

Ἔτει ,στωνστ΄ ἀπῆραν οἱ Λατῖνοι τὴν Ἡράκλειαν.

Ἔτει ,στωπη΄ ἐγένετο κύριον Πάσχα· ἐκρουσεύθη καὶ ἡ Μεσέμβρια.

Ἔτει ,στψξθ΄ παρέλαβον ἀπὸ τοὺς Φράγκους οἱ Ῥωμαῖοι τὴν Μπόλιν ἐπὶ τῆς βασιλείας Μιχαὴλ τοῦ Παλαιολόγου.

Ἔτει ,στϡιζ΄ ἰνδικτιῶνος β΄ Σεπτεβρίῳ ι΄ ἐκοιμήθη βασιλεὺ[ς] Ἰωάννης εἰς τὴν Θεσσαλονίκη, κυρ(οῦ) Ἀνδρονίκου υἱὸς σχηματιστεὶ[ς] Ἰωάσαφ.

Τῷ αὐτῷ ἔτει ἐκατηγορήθη πατριάρχης κὺρ Ματθαῖος ἐντὸς τῆς Ἁγίας Σοφίας λειτουργοῦντος παρὰ μοναχοῦ Ἰωακεὶμ ὁρμωμένου ἐκ τῆς Μονοβασίας.

Ἔτει ,στϡκθ΄ ἰνδικτιῶνος ιδ΄ ἐστέφθην ὁ βασιλεὺ[ς] κὺρ Ἰωάννης μετὰ τῆς Φράγκας κυρᾶς Σοφίας.

Ἔτει ,στϡλ΄ ἰνδικτιῶνος ιε΄ ἡμέρα ἐνήμερα τοῦ ἁγίου Εὐτυχοῦς, μαθητοῦ τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου ἐκαστροπολέμησεν ὁ ἄθεος Μουράτης τὴν μεγαλόπολι· καὶ ἐνίκησαν οἱ Ῥωμαῖοι καὶ ἐσκοτώθησαν οἱ Τοῦρκοι ,α πολλές.

Γίνωσκε ὅτι μετὰ τὸ ἀναληφθῆναι τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἔγραψεν ὁ ἀπόστολος Ματθαῖος τὸ Εὐαγγέλιον μετὰ η΄ χρόνους· τὸ δὲ κατὰ Μάρκον μετὰ ι΄ χρόνους· τὸ δὲ κατὰ Λουκᾶ μετὰ ιε΄ χρόνους· τὸ δὲ κατὰ Ἰωάννην μετὰ λε΄ χρόνους.

(Τὰ κάτω σημειώματα ὠχροτέρᾳ ἄλλῃ γραφῇ πρόσθετα):

Ἔτει ,στϡξ΄ Μαρτίῳ κγ΄ ἦλθε ὁ ἄθεος Μουράτης υἱὸς μὲ φουσᾶτον πολὺν καὶ ἔκτισεν τὸ Ἱερὸν τὸ δυτικόν.

Ἔτει ,στϡξβ΄ Μαρτίῳ γ΄ ἦλθε ὁ αὐτὸς μετὰ στρατοπέδου πολλοῦ καὶ πλοίων· καὶ ἐπαράπεσεν τὴν Πόλιν στερεᾶς καὶ θαλάσσης. . .

---

8 κῶδ: μπο$^{\lambda}$ (ὁμοίως ἐφεξῆς) 10: ἐκημυ$^{\vartheta}$ 13: ὑψο$^{\vartheta}$ 16: τὸ σὰ (= Σάββατον) ἔχει ἄνωθεν τὰ γράμματα αγ (=ἅγιον;) 18: εχαλα$^{\sigma}$ 19: (ἅγιον) 19: τὸ ἡμέρας διεγράφη ἐν τῷ κώδικι ὑπὸ τῆς αὐτῆς χειρὸς καὶ προσετέθη: † όχυ μᾶλον αλα της νυκτὸς (ὄχι, μᾶλλον ἀλλὰ τῆς

νυκτὸς) 23: τρυβο$^{λη}$ 27: κών$^{τ}$ 45: πολεμὴ 47: μέλε$^{ν}$ ιαματία 55: ιενουβιτ—γενουβή$^{τ}$ 66: βασιλικῷ 68: περιέχο 78: κυρ 92: τὰ τελευταῖα πρόσθετα σημειώματα δὲν φαίνονται ὅλα.

## 48

Κῶδ. Σινᾶ 1199 ἐν τέλει (ἀντίγραφον P. Glaue).

Ὅταν ἐκτίστη ἡ Κωνσταντινούπολις ἔτους ͵εωλζ΄.

Ὅταν ἐφάνη ὁ Μαχούμεθ ἔτους ͵στρκζ΄.

Ὅταν ἦλθαν οἱ Τοῦρκοι ἀπὸ τὴν Ἀνατολὴν εἰς τὴν Δύσιν ἔτους ͵στωιε΄.

Ὅταν ἐκτίστη ἡ Ἁγία Σοφία ἔτους ͵στωνδ΄.

Ὅταν ἐπῆραν οἱ Τοῦρκοι τὴν Καλλίπολι ἔτους ͵στωξ΄ . .

Ὅταν ἐπέρασαν οἱ Τοῦρκοι εἰς τὴν Ρωμανίαν ἔτους ͵στωξ΄.

Ὅταν ἐπῆραν τὴν Ἀνδριανούπολιν ἔτους ͵στωοζ΄.

Ὅταν ἐνίκησαν οἱ Τοῦρκοι τὸν Οὔγκλεζη τὸν δεσπότη ἔτους ͵στωοθ΄.

Ὅταν ἐπῆραν τὰς Σέρρας ἔτους ͵στωϟβ΄.

Ὅταν ἐπῆραν τὴν Προῦσα ἔτους ͵στϡια΄.

Ὅταν ἐπῆραν τὸν Καφᾶ ἔτους ͵στϡκβ΄.

Ὅταν ἐπῆραν τὴν Θεσσαλονίκην ἔτους ͵στϡλη΄.

Ὅταν ἐπῆγεν ὁ βασιλεὺς Ἰωάννης εἰς τὴν Φλωρεντία καὶ ἔγινεν ἡ ὀγδόη σύνοδος ἔτους ͵στϡνβ΄.

Ὅταν ἐχάθην ὁ Μουρὰτ Πέϊς ὁ γέρων μετὰ Λαζάρου τοῦ δεσπότη καὶ ἐβασίλευσεν ὁ σουλτὰν Μεεμέτης ἔτους ͵στϡνζ΄.

Ὅταν ἐπῆρεν ὁ αὐτὸς τὴν Κωνσταντινούπολιν ἔτους ͵στϡξα΄ Μαΐου κθ΄ ἡμέρᾳ γ΄.

Ὅταν ἐπῆρεν ὁ αὐτὸς τὴν Σερβίαν ἔτους ͵στϡξε΄.

Ὅταν ἐπῆρεν ὁ αὐτὸς τὸν Μορέαν ἔτους ͵στϡξθ΄.

Ὅταν ἐπῆρεν ὁ αὐτὸς τὴν Τραπεζοῦντα ἔτους ͵στϡο΄.

Ὅταν ἐπῆρεν ὁ αὐτὸς ⟨τὴν⟩ Πόσνα ἔτους ͵στϡοβ΄.

Ὅταν ἐπῆρεν ὁ αὐτὸς τὴν Εὔριπον καὶ ταῖς Κρόγιαις ἔτους ͵στϡοη΄.

Ὅταν ἔδωκαν τὴν Λῆμνον καὶ τὸ Σκούταρι οἱ Βενέτικοι διὰ νὰ κάμουν ἀγάπη ἔτους ͵στϡπα΄.

Ὅταν ἔγινεν ὁ σουλτὰν Παγιαζήτης ἔτους ͵στϡπθ΄.

Ὅταν ἐπῆρεν ὁ αὐτὸς τὸ Ἀσπρόκαστρο καὶ τὸ Κελλὶ ἔτους ͵στϡϟα΄.

Ὅταν ἐπῆρεν ὁ αὐτὸς τὸν Ναύπακτον ἔτους ͵ζζ΄.

Ὅταν ἐπῆρεν ὁ αὐτὸς τὴν Μοθωκορώνην ἔτους ͵ζη΄.

Ὅταν ἔγινεν αὐθέντης ὁ σουλτὰν Σελήμης ἔτους ͵ζιθ΄.

Ὅταν ἐπῆρεν ὁ αὐτὸς τὸ Μισύρη ἔτους ͵ζκε΄.

Ὅταν ἔγινεν ἀφέντης ὁ σουλτὰν Σουλεϊμάνης ἔτους ͵ζκη΄.

Ὅταν ἐπῆρεν ὁ αὐτὸς τὸ Μπελιγράδι ἔτους ,ζκθ΄.

Ὅταν ἐπῆρεν ὁ αὐτὸς τὴν Ρόδο ἔτους ,ζλ΄.

Ὅταν ἐπῆγεν εἰς τὴν Οὐγκρίαν καὶ ἐσκότωσε τὸν Κράλη τῆς Οὐγκρίας καὶ ἔλαβεν τοὺς Ἑβραίους ἀπὸ τὸ Πουντούνη καὶ ἤφερέν τους εἰς τὴν Σόφια· οἱ δὲ Φράγκοι ἔφυγαν ἔτους ,ζλδ΄.

Ὅταν ἐπῆγεν ὁ αὐτὸς εἰς τὴν Οὐγκρίαν καὶ ἐγύρισεν ἄπρακτος ἔτους ,ζμ΄.

Τὸ αὐτὸ ἔτος ἦλθεν ἡ ἀρμάδα τοῦ Σπάνια εἰς τὸν Μορέα καὶ ἐπῆραν τὴν Κορώνη καὶ τὴν παλαιὰν Πάτραν.

Ὅταν ἐπῆρεν ὁ αὐτὸς τὸ Ἀνάπλι καὶ τὴν Μονοβασία ἀπὸ τοὺς Βενετίκους διὰ νὰ κάμουν ἀγάπη ἔτους ,ζμβ΄ Νοεμβρίῳ κδ΄.

Ὅταν ἔγινεν ἀφέντης ὁ σουλτὰν Σελήμης ἔτους ,ζοδ΄ Νοεμβρίῳ α΄.

Ὅταν ἔγινεν ἀφέντης ὁ σουλτὰν Μουρὰτ ἔτους ,ζπγ΄ Νοεμβρίῳ α΄.

Ὅταν ἐπῆραν οἱ Τοῦρκοι τὸ Γιαννίκι ἔτους ,ζϙβ΄· τὸ αὐτὸ ἔτος ἐβασίλευσεν ὁ σουλτὰν Μεεμέτης.

Ὅταν ἐκρούσεψαν οἱ Τοῦρκοι τὴν Βλαχία ἔτους ,ζϙγ΄· τῷ αὐτῷ ἔτει τοὺς ἐπῆραν οἱ Βλάχοι τὴν ἀρμάδαν.

Ὅταν ἐπῆγεν ὁ σουλτὰν Μεεμέτης στὴν Ματζαρία καὶ ἐπῆρεν τὴν Ἐγρὶ ἔτους ,ζϙδ΄.

Τέλος οἱ χρόνοι τῶν Τουρκῶν.

---

5: κῶδ.: στωξο΄! 9: τὰς ερρας 27: τὸν απακτον 40: Βενετικους

## 49

Κῶδ. 1248 Suppl. grec Παρισίων φ. 35 β (αἰῶνος ιθ΄, ἀντίγραφα τοῦ Μηνᾶ Μινωΐδου ἐκ τραπεζουντιακῶν κωδίκων).

*Αἱ βασιλεῖαι τῶν Τούρκων, οἵ ἐβασίλευσαν τῆς Κωνσταντινουπόλεως.*

Ἔτους ,στωια΄ ἐπέρασαν οἱ Ἀγαρηνοὶ ἀπ' Ἀνατολῆς εἰς τὴν Δύσιν.
Πρῶτος ὁ Ἀτουμάνογλης, καὶ αὐθέντευσε χρόνους κα΄
β΄ μετὰ τοῦτον ὁ Ὀρχάνης μ΄
γ΄ ὁ Καζηχμικιάρης λ΄
δ΄ Σιλτηρεὶμ· ἔτη ιδ΄
ε΄ Μουσῆ τζελεπῆς γ΄
στ΄ Μουράτμπεϊς λα΄

*Ἐντεῦθεν οἱ τῆς Πόλεως.*

Ὁ Μεχμέτμπεϊς, ὃς καὶ τὴν Κωνσταντινούπολιν παρέλαβεν ἔτη λε΄.
Ἐν δὲ τῷ ,στϡνη΄ ἐπῆγεν εἰς τὸν Καραμάνον.
Ἐν δὲ τῷ ,στϡνθ΄ ὑπῆγεν εἰς τὸ Στενὸν τῆς Πόλεως καὶ ἔκτισε τὸ Νεόκαστρον.

Ἐν δὲ τῷ ,στϡξα΄ Μαΐου κθ΄ ἐπῆρε τὴν Κωνσταντινούπολιν.

Ἐν δὲ τῷ ,στϡξβ΄ ἐπῆγε τὸν χειμῶνα εἰς τὴν Αἶνον καὶ τὸ καλοκαίρι εἰς τὴν Σεμέντριαν.

Ἐν δὲ τῷ ,στϡξγ΄ ὑπῆγεν εἰς τὸ Βελιγράδι καὶ οὐκ ἐπῆρεν αὐτό.

Ἐν δὲ τῷ ,στϡξδ΄ ἐπῆρε τὸν Μορέαν.

Ἐν δὲ τῷ ,στϡξε΄ ἐπῆγεν εἰς τὸ Γιάτζι καὶ οὐκ ἐπῆρεν αὐτό.

Ἐν δὲ τῷ ,στϡξστ΄ ἐπῆγε β΄ εἰς τὸν Μορέαν καὶ ἠφάνισεν αὐτόν.

Ἐν δὲ τῷ ,στϡξζ΄ ἐπῆγε πάλιν εἰς τὸ Γιάτζη καὶ οὐκ ἐπῆρεν αὐτό.

Ἐν δὲ τῷ ,στϡξη΄ ἐπῆγεν εἰς τὴν Ἄμαστριν καὶ τὸ Σινώπι.

Ἐν δὲ τῷ ,στϡξθ΄ ἐπῆγεν εἰς τὸν Ὀζοὺν Χασάνη, καὶ ἐπιστρέψας ἔλαβε τὴν Τραπεζοῦντα.

Ἐν δὲ τῷ ,στϡο΄ ἐπῆγεν εἰς τὴν Βλαχίαν εἰς τὸν Ῥάδουλα Βοεβόδαν. Τὸν αὐτὸν χρόνον ἐπῆρε τὴν Μυτιλήνην.

|φ. 36α| Ἐν δὲ τῷ ,στϡοβ΄ ἐπῆγεν εἰς τὴν Πόσναν καὶ ἔλαβεν αὐτήν·

Ἐν δὲ τῷ ,στϡοδ΄ ἐπῆγεν εἰς τὸν Καραμάνην.

Τῷ ,στϡοη΄ ἐπῆρε τὴν Εὔριπον. Τῷ ,στϡπβ΄ ἐπῆγεν εἰς τὸν Ὀζοὺν Χασάνη. Τῷ ,στϡπγ΄ ἐπῆρε τὸν Καφᾶν.

Τῷ ,στϡπδ΄ ὑπῆγεν εἰς τὴν Μπογδανίαν καὶ ἐπῆρε τὰ κάστρη, ἃ ἔκτισαν οἱ Οὔγκροι.

Τῷ ,στϡπστ΄ ἐπῆγεν εἰς τὸν Σκόντραν, καὶ δὲν τὸν ἐπῆρεν, ὕστερον δὲ ἐπροσκύνησε.

Τῷ ,στϡπθ΄ ἀπέθανεν αὐτὸς τὰς γ΄ Μαΐου.

Τὸ αὐτὸ ἔτος ἐγένετο αὐθέντης ὁ υἱὸς αὐτοῦ Μπαγιαζήτης.

Τῷ ,στϡϟβ΄ ἐπῆγεν εἰς τὴν Μπογδανίαν καὶ ἐπῆρε τὰ Κελλία Ἰουλίου ιδ΄.

Τῷ αὐτῷ ἔτει τὴν δ΄ Αὐγούστου ἐπῆρε τὸ Ἀσπρόκαστρον.

Τῷ ,ζ ἔτει τὴν ζ΄ Αὐγούστου ἐπῆρε τὸν Ναύπακτον.

Τῷ αὐτῷ ἔτει τὴν Μεθώνην καὶ Κορώνην ἐν μηνὶ Αὐγούστου.

Τῷ ,ζιθ΄ ἐν μηνὶ Ἰουλίου ἦλθεν ὁ υἱὸς αὐτοῦ ὁ Σελὴμ καὶ ἐπολέμησε κατὰ τοῦ πατρὸς αὐτοῦ καὶ ἐγένετο πολλὴ ταραχὴ καὶ αἱματοχυσία.

Τῷ ,ζκβ΄ μηνὶ Ἀπριλ(ίου) ἐπῆρε τὴν αὐθεντίαν ὁ υἱὸς αὐτοῦ, ζῶντος, καὶ εἰς κ΄ ἡμέρας ὁ πατὴρ ἀπέθανεν, αὐθεντεύσας ἔτη λα΄.

Τῷ ,ζκβ΄ ἐπῆγεν ὁ σουλτὰν Σελὴμ εἰς τὸν Σοφῆν, καὶ ἐδίωξεν αὐτὸν καὶ τὸν ἀνεψιόν του, τὸν σουλτὰν Μουράτ.

Τῷ αὐτῷ ἔτει ἐπῆγεν εἰς τὸ Ταυρίζι, καὶ ἔχασε πολὺν στρατόν· καὶ εἰς τὸν β΄ χρόνον ἐπῆρε τὸν Κεαμήλ, καὶ ἐσκότωσε τὸν Ἀλάτογλα.

Τῷ δὲ ,ζκδ΄ ἔτει ἐπῆγεν εἰς τὸ Μασήρα, καὶ ἐπῆρε |φ. 36β| τὸν τόπον καὶ ἔκοψε τὸν σουλτάνον· ἔκαμε γοῦν ἐν τῇ αὐθεντίᾳ ἔτη η΄ καὶ ἀπέθανεν.

Τῷ ,εωϟε΄ (!) μηνὶ Μαΐῳ εἰς τὰς η΄ ἐπῆρε τὴν Βέρροιαν ὁ σουλτὰν Ἀχουμάτης.

Τῷ ,στωλη΄ ἔκτισεν ὁ Μέγας Κωνσταντῖνος τὴν Πόλιν.

Τῷ ,αφιη´ μηνὶ Ἰανουαρίου στρατεύει κατὰ τῆς Μέμφιος εἰς Αἴγυπτον, ἣν καὶ ἐδούλωσεν, ἐξολοθρεύσας τοὺς ὠμοτάτους Μαμελούκους. Καὶ οὐ πολὺ τὸ ἐν μέσῳ, θνήσκει, καταλιπὼν τὴν ἐξουσίαν τῷ υἱῷ αὐτοῦ Σουλεημάνῃ, ὃς καὶ διάδοχος γίνεται τῷ ,αφκ´, καὶ στρατεύει εὐθὺς κατὰ τῶν Οὔγκρων τὸν Σεπτέμβριον εἰς τὸ Βελεγράδι, καὶ παρέλαβε τῷ ,αφκε´. Τὸ δ' ἐπιὸν ἔτος ,αφκβ´ ἐποίησε στρατὸν χιλιάδας σ´ διὰ ξηρᾶς καὶ θαλάσσης τριήρεις σο´· καὶ ἀπῆλθεν εἰς τὴν Ῥόδον τὸν Ἰούλιον μῆνα καὶ ἐπολέμει αὐτὴν ἄχρι Δεκεμβρίου. Καὶ τῇ κε´ τοῦ αὐτοῦ μηνὸς παρεδόθη αὕτη ἡ πόλις εἰς αὐτόν, ὃς ἔδωκεν ἄδειαν τοῦ μένειν ἢ ἀπιέναι τῷ θέλοντι. Εἶτα ἔλαβε τὴν Καλλιούπολιν, εἶτα τὴν Ἀδριανούπολιν, εἶτα Θεσσαλονίκην· εἶτα αἱ Ἀθῆναι παρεδόθησαν. Τῷ ,ϛϡξη´ ἦλθεν εἰς τὸν Μυζηθρᾶν καὶ παρεδόθη ὁ δεσπότης Δημήτριος.

Τῷ ,αφλζ´ ἀπὸ Χριστοῦ ἐκίνησε μάχην μετὰ τῶν Βενετίκων, καὶ ἔγινεν πάλιν ἀγάπη, καὶ ἔδωκαν οἱ Βενετοὶ τὸ Ναύπλιον καὶ τὴν Μονεμβασίαν· καὶ τῷ αὐτῷ ἔτει ἡμέρᾳ Κυριακῇ παρέλαβεν ὁ Κασίμπασιας τὸ Ναύπλιον καὶ τὴν Μονεμβασίαν, καὶ οἱ μὲν τῶν κατοίκων συναπῆλθον τοῖς Βενετοῖς, παραλαβοῦσι καὶ τὰς καμπάνας τῶν ἐκκλησιῶν καὶ τὰ σκεύη τῶν κάστρων κατὰ τὰς συνθήκας, οἱ δὲ ἔμενον ἐν τῇ πατρίδι αὐτῶν.

---

61: τὰς καμπάνας τῶν κάστρων πρόσθετα ἄνωθεν διὰ παραπεμπτικοῦ σημείου ⁚·

**50**

Κῶδ. 1248 Suppl. grec Παρισίων φ. 193 β (αἰῶνος ιθ´ ἀντίγραφα τοῦ Μηνᾶ Μινωίδου ἐκ τραπεζουντιακῶν κωδίκων).

*Ἀρχὴ βασιλείας τῶν Παλαιολόγων ἐν Κωνσταντινουπόλει. Ἔτος Χριστοῦ.*

,ασξ´ Μιχαὴλ Παλαιολόγος χρόνους λδ´. Οὗτος ἐπῆρε τὴν Πόλιν ἀπὸ τοὺς Λατίνους.

,ασϟδ´ Ἀνδρόνικος ὁ υἱός του χρόνους ιη´· ἔστειλε πρέσβεις εἰς τοῦ Πάπα Ῥώμης, καὶ ὡμονοίασε τὴν ἐκκλησίαν Ῥώμης καὶ Ἀνατολῆς· καὶ πάλιν ἐχώρισαν.

Μιχαὴλ ὁ υἱός του· ἔστεψάν το βασιλέα μικρὸν παιδί, ἀμὲ δὲν ἔκατζεν. Ζῶντας ὁ κύρις του Ἀνδρόνικος τὸν ἔστεψε καὶ ἐβασίλευαν ὁμοῦ.

,ατιδ´ Ἀνδρόνικος ὁ υἱὸς τοῦ Μιχαὴλ τούτου χρόνους ιστ´. Ἐδῶ ἐδιωρθώθη τὸ Πάσχα ποῦ τόχαν χαμένο κατὰ χρόνους φ´ καὶ ἐκάμαν το μαζὶ μὲ τοὺς Ἑβραίους· Εἶχεν υἱοὺς δύο, Ἰωάννην καὶ Ἀνδρόνικον, ὃν ἐτύφλωσεν ὁ πατήρ του.

,ατκη´ Ἰωάννης ὁ Καντακουζηνὸς γυναικάδελφος Ἀνδρονίκου πιτροπικῶς (;) ἕως ἀνατραφῇ ὁ Ἰωάννης, υἱὸς τοῦ Ἀνδρονίκου· οὗτος ὁ Καντακουζηνὸς ἔστεψε καὶ τὸν υἱόν του τὸν κὺρ Ματθαῖον, δεσπότην Ἀναυπλίου.

,ατν´ Ἰωάννης, υἱὸς Ἀνδρονίκου Παλαιολόγου β´, οὗτος ἐπῆγε 'στὴν Φραγγίαν

καὶ ἔφερε φουσᾶτα καὶ ἐπῆρε τὴν Πόλιν ἀπὸ τὰς χεῖρας τοῦ θείου του τοῦ Κανταχουζηνοῦ καὶ τὸν θεῖόν του ἐκάμε τον μοναχὸν Ἰωάσαφ.

,αυ΄ Μανουὴλ υἱὸς τοῦ Ἰωάννου χρόνους λγ΄· εἶχε θυγατέρα τὴν κυρὰ Μάρου· τὴν ἐπῆρεν γυναῖκα ὁ σουλτὰν Μουράτης τῆς Ἀδριανουπόλεως· μητρυιὰ τοῦ σουλτὰν Μεχμέτη ποῦ πῆρε τὴν Πόλιν. Εἶχεν ὁ Μανουὴλ υἱοὺς στ΄, Ἰωάννην, Θεόδωρον, Κωνσταντῖνον, Ἀνδρόνικον, καὶ Θωμᾶν καὶ Δημήτριν τὸν σκανδαλιάρην, ὃν καὶ Τουρκοδημήτριν ἔλεγαν.

,αυλγ΄ Ἰωάννης ὁ υἱός του ὁ α΄ χρόνους ιβ΄· οὗτος ἐπῆγε ᾽ςτὴν Φραγγιὰν καὶ ἔκαμε τὴν η΄ σύνοδον.

,αυμε΄ Κωνσταντῖνος ὁ Δραγάσις, ὁ ἀδελφός του, ὁ ὕστερος τῶν Παλαιολόγων τῆς Πόλεως· εἰς τὸν ὄγδοον χρόνον αὐτοῦ ἐπῆρεν ὁ Τοῦρκος τὴν Πόλιν ,αυνγ΄ Μαΐου κ΄ ἡμέρα γ΄.

Ὁ ἀδελφός του, ὁ κὺρ Θεόδωρος ὑπανδρεύθη προτήτερα ᾽ςτὴν Φραγγίαν· ἀπέθανε ὕστερον ὁ Ἀνδρόνικος καὶ ὁ Δημήτριος ἐγίνσαν δεσπόται εἰς τὸν Μορέα καὶ ὁ Θωμᾶς· Ὁ Θωμᾶς ἔφυγε ᾽ςτὴν Ῥώμην, ὅταν ἐπῆρεν ὁ σουλτὰν Μεχεμέτης τὸν Μορέαν.

Ὁ Δημήτριος ἦρθεν μ᾽ αὐτὸν τὸν σουλτάνον εἰς τὴν Πόλιν καὶ ἐκάμε τον σιτηρέσιον.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

## 51

Κῶδ. 263 μονῆς Κουτλουμουσίου φ. 1 β (ἀντίγραφον Ἀ. Ἀδαμαντίου).

*Αἱ παροῦσαι χῶραι ἐκτίσθησαν πρὶν τοῦ Χριστοῦ.*

Τὸ Δυρράχιον χρόνους ,αφζ΄
Ἡ Μιτυλήνη χρόνους ,αφι΄
Ἡ Εὔριπος χρόνους ,αφμζ΄
Ἡ Γένουα χρόνους ,αφζ΄
Ἡ Ἀνάπολι χρόνους ,αφξβ΄
Ἡ Πάδουβα χρόνους ,αφιη΄
Ἡ Ῥώμη ἐκτίσθη παρὰ Ῥωμύλου χρόνους ,α.

| φ. 2 α | *Περὶ τῆς Ἁγίας Σοφίας καὶ τῆς Κωνσταντινουπόλεως πότε ἐκτίσθησαν.*

Ἐν ἔτει σο΄ ἀπὸ γεννήσεως τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἔκτισεν ὁ Μέγας Κωνσταντῖνος τὴν Κωνσταντινούπολιν, τὴν βασίλισσαν πασῶν τῶν πόλεων. Τῷ ,σττμθ΄ ἔτει ἀπὸ κτίσεως κόσμου ἐκτίσθη ἡ Ἁγία Σοφία παρὰ τοῦ μεγάλου Ἰουστινιανοῦ τοῦ βασιλέως.

*Περὶ πότε ἐκτίσθη ἡ Βενετία καὶ ἐν ποίῳ χρόνῳ ἔλαβαν οἱ Βενέτικοι τὰ κάτωθεν κάστρη.*

Εἰς τοὺς υκα΄ ἔτος ἀπὸ Χριστοῦ καταβάσεως ἐπιάσθη ἀρχὴ ἡ Βενετία, ἤγουν τὸ Ριάλτο καὶ εἰς τοὺς ωλ΄ ἔκτισαν τὴν ἐκκλησίαν τοῦ Ἁγίου Μάρκου καὶ εἰς τοὺς | φ. 2 β |

ωλβ΄ ἤφεραν τὸ λείψανον τοῦ Ἁγίου Μάρκου εἰς τὴν Βενετίαν τῇ λ΄ τοῦ Ἰανουαρίου μηνὸς καὶ εἰς τοὺς ͵αρμθ΄ ἔκτισαν τὸ καμπανέλη.

Ἔτει ἀπὸ Χριστοῦ ͵απ΄ ἐπῆραν οἱ Βενέτικοι τὸ νησὶν τῶν Κορυφῶν μὲ τὰ καστέλια. Ἔτει ἀπὸ Χριστοῦ ͵ατπη΄ ἐπῆραν τὸν Ναύπακτον ἀπὸ τὸν Παῦλον Σπάτα. Ἔτει ἀπὸ Χριστοῦ ͵αυκγ΄ Μαΐῳ κδ΄ ἐπῆραν τὸ Ντουλτζίνιο μετὰ συμφώνων ἀποθανόντος τοῦ αὐθεντὸς τοῦ Μπάλτζη. Ἔτει ἀπὸ Χριστοῦ ͵αυοδ΄ ἐπῆραν τὸ νησὶ τῆς Κύπρου ἀποθανόντος τοῦ Ρετζάγου.

Ἔτους ἀπὸ Ἀδὰμ ͵στψιβ΄ |φ. 3α| ἐπαρεδόθη ἡ Κωνσταντινούπολις εἰς χεῖρας τῶν Βενετίκων ἐπὶ τῆς βασιλείας τῶν Κομνηνῶν, Ἀλεξίου καὶ Ἰσαακίου. Ἔτους ἀπὸ Ἀδὰμ ͵στψξ΄ ἀντεστράφη πάλιν εἰς τοὺς Ρωμαίους ἡ Κωνσταντινούπολις ἀπὸ τὰς χεῖρας τῶν Βενετίκων, ἐπὶ τῆς βασιλείας κυροῦ Μιχαὴλ τοῦ Παλαιολόγου. Ἔτους ἀπὸ Ἀδὰμ ͵στϡζ΄ ἐπαράλαβαν οἱ αὐτοὶ Βενέτικοι τὸ Ἀναύπλι τῆς Πελοποννήσου.

|φ. 3β| *Περὶ πότε ἐφάνη ὁ Μωάμεθ καὶ πόσοι βασιλεῖς Τοῦρκοι εἶναι ἀπὸ ἀρχῆς ἕως τὴν σήμερον.*

Ἔτους ͵στρκζ΄ ἐφάνη ὁ Μωάμεθ. Οὗτοι εἶναι οἱ αὐθένται οἱ Τοῦρκοι οἱ λεγόμενοι Ὀτμανλίδες: Ὀτμάνης:—Ὀρχάνης:—Μουράτης:—Μπαγιαζήτης: —Μαχεμέτης:—Μουράτης:—Μαχεμέτης: —Μπαγιαζήτης:—Σελήμης: —Σουλεϊμάνης:—Σελήμης: —Μουράτης (νεωτέρᾳ χειρί:) Ὀσμάνης, Μεχεμέτης, Μουσταφᾶς.

11: κῶδ.: μετασυμφώνων

## 52

Κῶδ. Μαρκιανὸς 408 φ. 145β, αἰῶνος ιε΄

Ἔχουσιν οὖν οἱ Παλαιολόγοι τὴν βασιλείαν μέχρι τῆς σήμερον, ὅπερ ἐστὶν ἔτος ͵στϡθ΄ ἰνδικτιῶνος ιδ΄, χρόνους ἑκατὸν τριάκοντα. Εὑρέθη δὲ τὸ ζώδιον τοῦ Μιχαὴλ Παλαιολόγου τοῦ λατινόφρονος τοιοῦτον· π π π. Ἐλύθη γοῦν οὕτως· ἀπέθανεν ἡμέρᾳ Παρασκευῇ ὁ Παλαιολόγος ἐν τῷ χωρίῳ τοῦ Παχωμίου.

Τῷ ͵στωλδ΄ ἔτει παρεδόθη ἡ Προῦσα τοῖς ἀθέοις Ἀγαρηνοῖς μηνὶ Ἀπριλίῳ στ΄.

Καὶ τῷ ͵στωλθ΄ ἔτος παρεδόθη καὶ ἡ πόλις Νίκαια τοῖς Ἀγαρηνοῖς.

|φ. 146α| Ὁ υἱὸς κὺρ Μιχαὴλ τοῦ νέου βασιλέως.

Ἐκοιμήθη ὁ βασιλεὺς κὺρ Ἀνδρόνικος ὁ Παλαιολόγος ἐν ἔτει ͵στωμθ΄ ἰνδ. θ΄ μηνὶ Ἰουνίῳ ιε΄ ἡμέρᾳ στ΄.

Ἐστέφθη ὁ υἱὸς αὐτοῦ ὁ βασιλεὺς κὺρ Ἰωάννης ὁ Παλαιολόγος ἐν ἔτει ͵στων΄ ἰνδικτ. ι΄ μηνὶ Νοεμβρίῳ ιθ΄ ἡμέρᾳ β΄· ἦν δὲ τότε χρόνων δέκα.

Ἐν ἔτει ͵στωνδ΄ ἐπὶ τῆς βασιλείας κυρᾶς Ἄννης τῆς Παλαιολογίνης καὶ τοῦ υἱοῦ αὐτῆς κὺρ Ἰωάννου τοῦ Παλαιολόγου πατριαρχοῦντος κὺρ Ἰωάννου τοῦ Ἀπρηνοῦ τῇ ιθ΄ τοῦ Μαΐου μηνὸς ἡμέρᾳ Παρασκευῇ νυκτὸς ἔπεσε τὸ ἔξων μέρος τοῦ ναοῦ τῆς Ἁγίας Σοφίας· ἤτοι ἡ μία ἀψὶς καὶ τὸ τρίτον τῆς τρούλης καὶ ἐπέκεινα καὶ συνέτριψε

τόν τε περικαλλῆ ἄμβωνα καὶ τὸ τέμπλον τὸ...ῦ τοῦ ἱεροῦ βήματος καὶ πάσας τὰς ἁγίας εἰκόνας. Ἐν δὲ τῷ ,στωνε΄ ἔτει, μηνὶ Ὀκτωβρίῳ στ΄ ἡμέρᾳ στ΄ ἐπληρώθη τὸ μυάκιν μετὰ τῆς ἁψῖδος.

Ἐν ἔτει ,στω... ἰνδ. ιε΄ ἐπὶ τῆς βασιλείας κὺρ Ἰωάννου τοῦ Καντακουζηνοῦ μηνὶ Μαρτίῳ ἡμέρᾳ ε΄ ἀπεπνίγη ὁ στόλος ἅπας τῶν Ῥωμαίων καὶ ἀπήρασι τὰ κάτεργα οἱ Λατῖνοι κενὰ εἰς τὸν Γαλατᾶν, ὅτε ἦν καὶ ὁ Φακεωλάτος.

Ἐν ἔτει ,στωξβ΄ ἰνδ. ζ΄ μηνὶ Μαρτίῳ β΄ τῇ νυκτὶ τῆς Ὀρθοδοξίας ἐπὶ τῆς βασιλείας κὺρ Ἰωάννου τοῦ Καντακουζηνοῦ γέγονε σεισμὸς μέγας, ὅτε καὶ τὰ τείχη κατέπεσον τῆς Καλλιουπόλεως καὶ τῶν μετ᾽ αὐτὴν καὶ παρεδόθησαν οἷς κρίμασιν οἶδε θεός, τοῖς Ἀγαρηνοῖς.

Ἐν ἔτει ,στωο΄ ἰνδ. ιε΄ ἐπὶ τῆς βασιλείας κὺρ Ἰωάννου τοῦ Παλαιολόγου ἐγένετο θανατικὸν μέγα ἀρξάμενον ἀπὸ μηνὸς Σεπτεμβρίου καὶ ἐπεκράτησε χρόνον ἕνα· περὶ δὲ τὸ μέσον τούτου κατὰ τὸν Μάρτιον μῆνα ἀπέθανε καὶ ὁ Ὀρχάνης. Ἐν δὲ τῇ ἐρχομένῃ β΄ ἰνδίκτῳ ἀπῆλθεν ὁ πατριάρχης κὺρ Κάλλιστος ἐν τῇ Σερβίᾳ ἀποκρισιάριος καὶ τέθνηκεν ἐκεῖσε καὶ σὺν αὐτῷ ἀπώλοντο καὶ οἱ λογάδες τῆς ἐκκλησίας.

|φ. 146 β| Ἐν ἔτει ,στωπδ΄ ἰνδ. ιδ΄ εἰσήχθη ὁ βασιλεὺς κὺρ Ἀνδρόνικος ὁ νέος εἰς τὴν Κωνσταντινούπολιν ἀπὸ τῆς πόρτης τῆς Πηγῆς μηνὶ Αὐγούστῳ ιβ΄· παρέκειτο δὲ αὐτῇ ἡμέρας λβ΄ καὶ τῇ ιη΄ Ὀκτωβρίου τῆς α΄ ἰνδικτιῶνος ἐστέφθη ἡμέρᾳ α΄.

Ἐν δὲ τῇ β΄ ἰνδικτιῶνος κατὰ τὸ στωπζ΄ ἔτος μηνὶ Ἰουλίῳ α΄ ἡμέρᾳ στ΄ εἰσήχθη ὁ πατὴρ αὐτοῦ, ὁ βασιλεὺς κὺρ Ἰωάννης ὁ Παλαιολόγος καὶ ὁ αὐτάδελφος αὐτοῦ ὁ βασιλεὺς κὺρ Μανουὴλ ὁ Παλαιολόγος εἰς τὴν Πόλιν ἀπὸ τῆς πύλης τοῦ Χαρισίου καὶ ἐβασίλευσεν ἐν αὐτῇ. Οὗτος δὲ ἀπῆλθεν εἰς τὸν Γαλατᾶν βασιλεύσας ἐν τῇ Πόλει ἔτη β΄ μῆνας ι΄ ἡμέρας κ΄.

Ἐκοιμήθη οὗτος ὁ βασιλεὺς κὺρ Ἀνδρόνικος ἐν ἔτει ,στωϟγ΄ ἰνδ. η΄ μηνὶ Ἰουνίῳ κη΄ ἡμέρᾳ δ΄ καὶ ἐτάφη εἰς τὴν μονὴν Χριστοῦ τοῦ Παντοκράτορος.

Ἐν ἔτει ,στωϟη΄ ἰνδ. ιγ΄ ἡμέρᾳ ε΄ τῆς ἑβδομάδος τοῦ Ἁγίου Θωμᾶ εἰσήχθη εἰς τὴν Πόλιν ὁ βασιλεὺς κὺρ Ἰωάννης ὁ νέος ἀπὸ τῆς Χαρισίας πύλης, ὁ υἱὸς τοῦ κὺρ Ἀνδρονίκου τοῦ βασιλέως μηνὶ Ἀπρ(ιλίῳ) ιδ΄ καὶ ἐκράτησε μῆνας ε΄ ἡμέρας γ΄.

Ἐν ἔτει ,στωϟθ΄ ἰνδ. ιγ΄ μηνὶ Σεπτεμβρίῳ ιζ΄ ἡμέρᾳ ζ΄ ἐξῆλθεν ὁ βασιλεὺς κὺρ Μανουὴλ ὁ Παλαιολόγος ἀπὸ τῆς Χρυσείας μετὰ πεζῶν καὶ ὀλίγων ἱππέων καὶ ἀπῆρε τὴν Κωνσταντινούπολιν διώξας τὸν ἀνεψιὸν αὐτοῦ.

Ἐν ἔτει ,στωϟθ΄ ἰνδ. ιδ΄ ἡμέρᾳ ε΄ τῆς β΄ ἑβδομάδος τῆς ἁγίας μ΄ (=τεσσαρακοστῆς) ἐκοιμήθη ὁ ἀοίδιμος βασιλεὺς κὺρ Ἰωάννης ὁ Παλαιολόγος καὶ ἐτάφη ἐν τῇ μονῇ τῶν Ὁδηγῶν μηνὶ Φεβρουαρίῳ ιστ΄.

Ἐν ἔτει ,στωϟα΄ ἰνδ. στ΄ μηνὶ Ἰουνίῳ ιε΄ ἐκοιμήθη ὁ βασιλεὺς κὺρ Ἰωάννης ὁ Καντακουζηνὸς ὁ μετονομασθεὶς Ἰωάσαφ μοναχὸς εἰς τὸν Μορέαν καὶ ἐτάφη ἐκεῖ.

Ἀπέθανε πρὸ ὀλίγων ἡμερῶν ἐκεῖ καὶ ὁ βασιλεὺς κὺρ Ματθαῖος.

## 53

Κῶδ. 218 τῆς μονῆς Ἰβήρων φ. 317 β.

1797: τὸν Μάρτιον καὶ Ἀπρίλιον ἔγιναν εἰς τὸ Ἅγιον Ὅρος οἱ φοβεροὶ καὶ τρομαχθικοὶ σεισμοὶ ἐπὶ ἡμέρας 60· καὶ εἰς αὐτὸ τὸ ἀναμεταξὺ ἐπνίγη καὶ ἡ σακκολέβα μας μὲ τοὺς πατέρας· ἐρχόμενοι ἀπὸ τὴν Θάσο εἰς τὸν Ἁγιανδρέα ἐβυθίσθησαν.

|φ. 318 α| 1796: ἐν μηνὶ Φεβρουαρίῳ ἐκατέβη ἀπὸ τὴν Πόλι εἰς τὴν Ἀνδριανούπολιν ὁ Χακῆ πασιᾶς καταπάνωθεν τῶν ζορμπάδων, ὁποῦ ἔκαμαν τὰ ἀναρίθμητα κακὰ εἰς πολλοὺς τόπους καὶ χώρας, ὁποῦ εἶναι πασίδηλα· ἐν πρώτοις ἐσκότωσαν τὸν Χατζῆ-Μανάφη, τὸν ἀγιάννην τοῦ Διμοτείχου, τὸν ἀγιάννην τὸν πολυθρύλητον Ἴμπαγα τῆς Ἐνδρενές, τὸν Ἀστέρογλου, τὸν σινάπην τῆς Δράμας, ἐξόχως καὶ ἄλλους πολλοὺς ἀναριθμήτους, ὥστε ὁποῦ μὲ τὰ ἁμάξια ἔστειλε κεφάλια τῶν ζορμπάδων εἰς τὴν Πόλιν, καὶ οὕτως ἔγινε μεγάλη ἡσυχία εἰς τὸν κόσμον.

1797: Σεπτ. 26: ἐφύγαμεν ἀπὸ τὰ Καλύβια εἰς τὸν Μαλγαρὰ ἐμεῖς οἱ καλόγηροι καὶ ὅλο τὸ χωριό, ἀπὸ τὸ πέρασμα τοῦ Ἀλήπασια ἐρχόμενος ἀπὸ τὴν Ἐνδρενὲ νὰ πηγαίνῃ εἰς τὴν Ἀνατολὴ ἀπὸ τὴν Καλλίπολη.

1797: τέλη Ἰουνίου ἐτραβήσαμε μεγάλην στενοχωρίαν, φόβον καὶ τρόμον ἀπὸ τοὺς ζορμπάδες, ὥστε ὁποῦ δὲν ἠξεύραμε ποῦ νὰ πηγαίνωμε, καὶ ὄντες ἄμετρα χωρία ἀπὸ τὴν Ἐνδρενὲ ἕως τὴν Φέρη.

1797: τὸν Μάρτιον ἔγινεν ἐκείνη ἡ καταδρομή, πυρκαϊὰ καὶ ἀφανισμὸς εἰς τὴν Σμύρνην, ὁποῦ οὐδέποτε ἔγινεν εἰς αὐτήν.

1797: Νοεμβ. 2: ἀπέρασεν ἀπὸ τὰ Καλύβια ὁ ἱεροδιάκονος Ἰωαννίκιος πατριαρχικὸς διὰ τὴν Αἶνο, καὶ ἐξαναῆλθεν 9 Νοεμ(βρίου) μετὰ τοῦ ἐξορίστου Ἁγίου Τορνόβου κὺρ Ματθαίου, καὶ ἐπῆγαν εἰς τὴν Πόλιν.

---

12: κῶδ.: Ἀλόπασια. 17: ἀφανισμόν.

## 54

Κῶδ. Ζακύνθου ὑπ' ἀριθ. ΛΒ' (ἐκ τῶν Φιλολογικῶν Ἀναλέκτων Ζακύνθου τοῦ Νικολάου Κατραμῆ σελ. 186).

Ἀπὸ τῆς ἐνσάρκου οἰκονομίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ,αρνγ' ἐπῆραν οἱ Σαρακηνοὶ τὰ Ἱεροσόλυμα.
